device if not-indeed then the to-be-moved you from this the
τόπου ἐφ' ἕτερον βαλτώδη καὶ καλαμώδη, καὶ ὑδατώδη.»
place to another marshy and reedy and watery
Οἱ δὲ, «Καὶ μετάστησον λοιπὸν ἡμᾶς πάντας ἐπὶ τὸν
they and and move now us all to the
τοιόνδε, ὃν φῂς τόπον.» Καὶ ὁ κύκνος, «Δέδοικα, ἔφη,
such which you-say place and the swan I-fear he-said
μὴ πρὸ τοῦ μετατεθῆναι πάντας ὑμᾶς, προκαταλάβωσιν οἱ
lest before the to-be-moved all you forestall(-you) the
ἁλιεῖς· ὅμως, ὅση δύναμις, ἐπιχειρήσω τοῦτο ποιῆσαι.»
fishermen yet as-much-as power I-will-try this to-do
Ἤρξατο δὲ ἐπὶ τοιαύτῃ προφάσει μετακομίζειν τινὰς τῶν
began and on such pretext to-carry-over some of-the
ἰχθύων ἐπί τινα τόπον, καὶ ἐσθίειν, τῶν ἄλλων οἰομένων
fishes to some place and to-eat the others thinking
ἐπὶ τὸν ὑποσχεθέντα τόπον μετακομίζεσθαι. Ἠξίωσε γοῦν
to the promised place to-be-carried-over asked at-any-rate
καὶ ὁ καρκῖνος τὸν κύκνον μετακομίσαι καὶ αὐτὸν, ὡς ἕνα
also the crab the swan to-carry-over also him as one
τῶν ἰχθύων· ὃν λαβὼν ὁ κύκνος ἀπήγαγεν, ἔνθα τοὺς
of-the fishes whom having-taken the swan led-away where the
ἰχθύας κατήσθιε, βουληθεὶς καὶ τοῦτον ἐκεῖσε καταφαγεῖν.
fishes he-devoured having-wished also this-one there to-eat-up
Ὁ δὲ καρκῖνος, ἰδὼν τὰ τῶν ἰχθύων ὀστᾶ ἐκεῖσε
the and crab having-seen the of-the fishes bones there
κείμενα, ἔγνω τὸν δόλον, καὶ τὴν οὐ καλὴν ἀποικίαν, καὶ
lying knew the guile and the not fair settlement and
καθ' ἑαυτὸν διελογίζετο, ὡς βιοθανατώσει τὸν κύκνον.
by himself reasoned that he-will-make-die-violently the swan

Καὶ δεῖν ἔγνω μὴ ὑπείξειν, ἀλλὰ συμπλακῆναι τῷ
and to-be-needful he-knew not to-yield but to-grapple-with the
κύκνῳ, καὶ μὴ ἄδοξον ὑποστῆναι θάνατον, ἀλλὰ ἢ ζῆσαι,
swan and not inglorious to-undergo death but either to-live
ἢ καλῶς τεθνηκέναι· καὶ ἐπισχὼν ἀθρόως ταῖς χηλαῖς
or nobly to-have-died and having-gripped all-at-once with-the claws
τὸν τοῦ κύκνου τράχηλον, βιαίως αὐτὸν ἀπέπνιξε. Διὰ
the of-the swan neck violently him strangled because-of
τοῦτο οὖν σοι τάδε ἔφην, ὦ κόραξ, ἵνα μάθῃς
this then to-you these-things I-said O raven that you-may-learn
ἀκριβῶς, ὡς πολλάκις ὁ ἐπιβουλεύων τινὶ, ταῖς
exactly that often the-one plotting against-one by-the
οἰκείαις ἄρκυσιν ἁλίσκεται. Δεῖ οὖν σε μετελθεῖν τὸν
own nets is-caught it-is-needful then you to-go-after the
ὄφιν τρόπῳ τοιῷδε· ἁρπάσας γῆθέν τι τῶν
snake in-manner such having-snatched from-the-ground something of-the
τιμίων καὶ πολυτελῶν, οἷς ἄνθρωποι χρῶνται, τούτων
precious-things and costly which men use them
ὁρώντων, ἐγκατάθου τῇ τοῦ ὄφεως τρώγλῃ. Οἱ δὲ
watching put in-the of-the snake hole the and
τοῦ πράγματος κύριοι ἰδόντες, ἕψονταί σοι, καὶ εὑρόντες,
of-the thing owners having-seen will-follow you and having-found
αὐτοὶ ἐκεῖνοι ἀναιροῦσι τὸν ὄφιν. Τοῦτο δὲ δράσας ὁ
themselves those kill the snake this and having-done the
κόραξ ἀπηλλάγη παντελῶς τῶν τοῦ ὄφεως ἀδικημάτων.
raven was-rid wholly of-the of-the snake wrongs
Ταῦτά σοι διῆλθον, ὦ φίλε, ἵνα γνῷς, ὡς ἡ
these-things to-you I-went-through O friend that you-may-know that the
φρόνησις ἐπικρατεστέρα ἐστὶ τῆς δυνάμεως.» Ὁ δὲ
prudence mightier is than-the power — and
Στεφανίτης εἶπεν· «Εἰ μὴ πρὸς τὴν ἀνδρείαν ὁ ταῦρος
Stephanites said if not to the courage the bull

καὶ ἀγχίνους ἦν, εὖ εἶχέ σοι τὰ τοιαῦτα λέγειν· ἀλλ᾽
also shrewd were well it-would-be for-you the such-things to-say but
ἐστὶ καὶ συνετώτατος.» Καὶ ὁ Ἰχνηλάτης· «Ἀληθῶς ἔφης,
he-is also most-intelligent and — Ichnelates truly you-said
τοιοῦτός ἐστιν· ἀλλ᾽ ἐν τούτῳ δύναμαι καταβαλεῖν αὐτὸν,
such he-is but in this I-am-able to-bring-down him
τῷ θαῤῥεῖν μοι, καὶ πιστεύειν ἐν πολλοῖς πράγμασι,
in-the to-trust me and to-believe in many matters
τοιούτῳ τρόπῳ, ᾧπερ καὶ ὁ λαγωὸς τὸν λέοντα κατέβαλε.
in-such manner in-which also the hare the lion brought-down
Λέων γάρ τις ᾤκει χλοηφόρον καὶ ὑδατῶδες πεδίον, ἐν
lion for a-certain dwelt grassy and watery plain in
ᾧ καὶ γένη θηρίων ἐνέμοντο διάφορα, τῶν μὲν ἄλλων
which also kinds of-beasts grazed various the indeed others
ἀφθόνως καὶ δαψιλῶς εὐμοιρούντων, μόνῳ δὲ τῷ λέοντος
ungrudgingly and abundantly faring-well by-only but the lion's
φόβῳ παρενοχλούμενα. Βουλὴν δὲ συστησάμενα προσῆλθον
fear troubled counsel and having-formed they-approached
τῷ λέοντι, καὶ εἶπον αὐτῷ· «Πάντες, ὦ Βασιλεῦ,
the lion and said to-him all O King
συνίδομεν, ἵνα σε μὲν κόπου καὶ μόχθου ἀπαλλάξωμεν,
we-have-considered that you indeed from-toil and labor we-may-free
ἡμῖν δὲ αὐτοῖς ἀμεριμνίαν ποιήσωμεν. Σὺ γὰρ μόχθῳ
for-us and ourselves freedom-from-care we-may-make you for with-labor
πολλῷ καὶ ἱδρῶτι μόλις θηρεύσεις ἕνα ἐξ ἡμῶν· ἡμεῖς
much and sweat scarcely will-hunt one of us we
δὲ πάλιν τῷ φόβῳ τοῦ θηρεύοντος περίδειλοι ὁσημέραι
and again by-the fear of-the hunter very-fearful daily
διατελοῦμεν. Δεῖν οὖν ἔγνωμεν ἑκάστῃ ἡμέρᾳ δεξιοῦσθαί
continue to-be-needful then we-judged on-each day to-greet
σου τὴν τράπεζαν ἕνα ἐξ ἡμῶν.» Καὶ τοῦτο ἀσπαστὸν
your the table one of us and this welcome

ἐφάνη τῷ λέοντι, καὶ διετέλεσαν ἡμέρας ἱκανὰς, κλήρους
appeared to-the lion and they-continued days many lots
βάλλοντες κατ᾽ ἀλλήλων, καὶ τὸν εἰσπεσόντα τῷ κλήρῳ,
casting among one-another and the-one falling to-the lot
τῷ λέοντι ἐξαπέστελλον. Ὡς οὖν ὁ κλῆρος ἦλθέ ποτε
to-the lion they-sent-off as then the lot came once
καὶ ἐπὶ τὸν λαγωὸν, εἶπε τοῖς θηρσί· «Συνεργήσατέ μοι,
also to the hare he-said to-the beasts help me
ὦ θῆρες, ἀπαλλάξω γὰρ ὑμᾶς ἐπιτιμίου βαρυτάτου.»
O beasts I-will-free for you from-a-penalty most-heavy
Οἱ δὲ εἶπον· «Ὅπερ βούλει, ποιήσωμεν.» Ὁ δὲ φησί·
they and said what you-wish let-us-do he and says
«Παραγγείλατε τῷ ἕλκοντί με πρὸς τὸν λέοντα, μὴ
charge the-one drawing me to the lion not
κατεπείγειν με πρὸς τὴν ὁδόν· ἀλλ᾽ ὅτε πλησίον αὐτοῦ
to-hurry me on the road but when near him
γενώμεθα, ἀποκρυβῆναι.» Οἱ δὲ τὸ προσταχθὲν ἐποίησαν·
we-be to-hide they and the ordered-thing did
καὶ ἀπελθὼν ὁ λαγωὸς, βραδυτέρᾳ τῇ πορείᾳ ἐχρήσατο,
and having-gone-away the hare slower the going used
ὥστε τὸν λέοντα πρόσπεινον γενόμενον ἀγριωθῆναι. Ὡς
so-that the lion very-hungry having-become to-be-enraged as
οὖν εἶδε τὸν λαγωὸν, εἶπε πρὸς αὐτόν· «Τί ὅτι μέχρι
then he-saw the hare he-said to him why that until
τοῦδε ἐβράδυνας, καὶ οὐχ, ὡς οἱ λοιποὶ, τάχιον ἦλθες;»
this you-delayed and not as the rest more-quickly came
Καὶ ὁ λαγωὸς, «Ἐφελκόμην, φησὶ, πρός σε, καί τίς
and the hare I-was-being-drawn he-says to you and a
μοι συναντήσας λέων, ἥρπασε τὸν ἕλκοντά με, πολλὰ
to-me having-met lion snatched the-one drawing me many-things
αὐτῷ ἐπιφωνησαμένου καὶ προδιαμαρτυραμένου μου, ὡς
to-him having-called-out and having-protested I that

δίαιτά σοι ἐπέμφθην· ἀλλ' οὐκ εἰσηκούσθην, καὶ εἴπερ
food for-you I-was-sent but not I-was-heeded and if-indeed
βούλει, ἀπάξω σε πρὸς αὐτόν.» Θυμωθεὶς οὖν ὁ
you-wish I-will-lead you to him having-been-angered then the
λέων εἶπε τῷ λαγωῷ, ὡς ἕψομαί σοι, ἔνθα ἐστὶν
lion said to-the hare that I-will-follow you where is
ἐκεῖνος. Ὁ δὲ ἀπήγαγε τοῦτον ἐπί τι βαθύτατον φρέαρ,
that-one he and led him to a very-deep well
καὶ παρεσκεύασεν ἐν αὐτῷ προκύψαι, ὥστε τὸν λέοντα
and prepared in it to-peer-down so-that the lion
ἰδεῖν. Καὶ συμπροέκυψε καὶ οὗτος, καὶ εἶπεν αὐτῷ·
to-see and peered-down-together also he and said to-him
«Οὗτός ἐστιν ὁ λέων, ὁ τὴν ἁρπαγὴν ποιήσας, καὶ
this is the lion the-one the seizure having-made and
ὁ ἁρπαγεὶς λαγωὸς,» ὑποδείξας αὐτῷ ἐν τῷ ὕδατι τὸ
the seized hare having-shown to-him in the water the
ἑαυτοῦ κἀκείνου ἐκτύπωμα. Ἐφ' ᾧ ὁ λέων πλανηθεὶς
his-own and-that-one's image at which the lion misled
ἔῤῥιψεν ἑαυτὸν ἐν τῷ ὕδατι, καὶ ἀπεπνίγη. Οὕτω κἀγὼ
threw himself in the water and was-drowned thus I-too
θαῤῥῶ ἐπὶ πᾶσί μοι πιστεύοντα τὸν ταῦρον.»
am-confident in all me believing the bull
Ὁ δὲ Στεφανίτης εἶπεν· «Εἰ δύνασαι τὸν ταῦρον ἀπολέσαι,
— and Stephanites said if you-are-able the bull to-destroy
μὴ καταβλαπτομένου τοῦ λέοντος, τὸ ἔργον ἐπιχείρησον.
not being-harmed the lion the work attempt
Καὶ γὰρ σύ τε κἀγὼ, καὶ ἕτεροι πλεῖστοι τῶν καθ' ἡμᾶς
and for you both and-I and others very-many of-those about us
διὰ τῆς τοῦ ταύρου οἰκειώσεως παρεωράθημεν νῦν· εἰ δὲ
through the of-the bull intimacy were-overlooked now if but
τοῦτο ἀδύνατόν ἐστί σοι, ἀπόσχου τοῦ ἐγχειρήματος·
this impossible is for-you keep-away from-the undertaking

παράβασις γὰρ τὸ τοιοῦτον καὶ παρασπόνδησις.» Οὐ μετὰ
transgression for the such and breach-of-faith not after
πολλὰς γοῦν ἡμέρας ἦλθεν ὁ Ἰχνηλάτης πρὸς τὸν λέοντα,
many at-any-rate days came — Ichnelates to the lion
κατηφείας μεστὸς καὶ σύννους, καὶ ἐπηρώτησε τοῦτον ὁ
with-dejection full and pensive and asked him the
λέων περὶ τοῦ πάθους, καὶ ἔφη· «Μήτι συνέβη καινόν;» Ὁ
lion about the affliction and said not-perhaps happened anything-new —
δὲ Ἰχνηλάτης εἶπε· «Συμβέβηκέ τι πρᾶγμα ἀποτρόπαιον,
and Ichnelates said has-happened a thing abominable
σοί τε κἀμοί· ἀλλ᾽ ὅτε ὁ λέγων ἐπίσταται, ὡς τὰ
to-you both and-to-me but when the-one speaking knows that the-things
παρ᾽ αὐτοῦ λεχθησόμενα δυσάρεστα τῷ ἀκούοντι φανήσεται,
by him to-be-said displeasing to-the hearer will-appear
οὐ τοῦ λέγειν κατατολμᾷ, εἴγε καὶ δι᾽ εὔνοιαν τοῦτο
not — to-speak he-dares if-indeed even because-of goodwill this
πράττει τοῦ ἀκούοντος, εἰ μή γε πολλάκις θαῤῥήσει
he-does of-the hearer if not indeed often he-will-take-courage
τῇ εὐνοίᾳ αὐτοῦ, δόξαντος παραίνεσιν εὐνοϊκὴν εἶναι
in-the goodwill his seeming admonition well-meant to-be
τὰ ὑποτιθέμενα. Εἰδὼς οὖν σε, ὦ Βασιλεῦ, καὶ
the-things suggested knowing then you O King also
αὐτὸς συνέσει καὶ ἀγχινοίᾳ κεκοσμημένον, ἐθάρσησα
yourself with-understanding and shrewdness adorned I-took-courage
διαλεχθῆναί σοι. Περὶ ὧν ἄκουε, εἰ βούλει· οἶδα γὰρ,
to-converse with-you about which hear if you-wish I-know for
ὡς οὐκ ἐνδοιάζεις πρὸς τὴν ἀκραιφνῆ καὶ εἰλικρινῆ μου
that not you-doubt toward the pure and sincere my
δουλωσύνην, καὶ διανοοῦμαι μὲν, ὡς ἄπιστά σοι φανήσεται
servitude and I-think indeed that unbelievable to-you will-appear
τὰ ῥήματά μου· ἀλλὰ πάλιν διαλογίζομαι, ὡς αἱ ἡμέτεραι
the words my but again I-reason that the our

ψυχαὶ τῆς σῆς ἀνήρτηνται ψυχῆς, καὶ γνώμης καὶ ἐξουσίας.
souls on-the your hang soul and judgment and authority
Καὶ ἀναγκαῖόν μοι φαίνεται, τὸ μηδὲν τῶν δεόντων καὶ
and necessary to-me appears the nothing of-the needful-things and
λυσιτελούντων ἀποκρύπτειν σοι· οὐ δεῖ γὰρ οὔτε τὸν
profitable to-hide from-you not it-is-needful for either the
ὑπήκοον τὴν πρὸς τοὺς δεσπότας εὔνοιαν συγκαλύπτειν·
subject the toward the masters goodwill to-conceal
οὔτε τὸν νοσοῦντα μὴ ἀνακοινοῦσθαι τὰ τῆς νόσου
or the sick not to-communicate the-things of-the disease
τῷ ἰατρῷ· οὔτε τὸν πένητα σπεύδειν λαθεῖν τὴν
to-the physician or the poor to-hasten to-escape-the-notice-of the
ἑαυτοῦ πενίαν τοὺς φίλους. Ἀνέμαθον οὖν παρά τινος
his-own poverty the friends I-learned then from a
ἀξιοπίστου, ὡς ὁ ταῦρος τοῖς ἄρχουσι τοῖς ὑπό σε
trustworthy-one that the bull with-the rulers those under you
ὡμίλησε κατὰ μόνας, καὶ εἶπεν αὐτοῖς· «Ἐπειράσθην τοῦ
conversed by alone and said to-them I-have-tried the
λέοντος καὶ ἔγνων ἀκριβῶς τὴν ἀνδρείαν αὐτοῦ, καὶ τὴν
lion and learned exactly the courage his and the
φρόνησιν, καὶ εὗρον αὐτὸν παντελῶς ἐν τούτοις ἀφελῆ·»
prudence and found him wholly in these simple
καὶ ἐκ τῶν τοιούτων αὐτοῦ προοιμίων ἐτεκμηράμην τὴν
and from the such his preludes I-inferred the
τούτου ἀναίδειαν, καὶ τὴν παρασπόνδησιν· ὅτι, σοῦ τὸν
his shamelessness and the breach-of-faith that you the
τοιοῦτον ὑπὲρ πάντας ὑψώσαντος, καὶ ὁμότιμον σεαυτῷ
such above all having-exalted and equal-in-honor to-yourself
καταστήσαντος, διενοήθη τῆς σῆς ἀποδράξασθαι ἀρχῆς.
having-made he-intended the your to-seize rule

Καὶ δεῖ τοὺς Βασιλεῖς, ὅτε τινῶν ἐπαίσθωνται τῆς
and it-is-needful the Kings when some they-perceive the
οἰκείας ἀρχῆς ἐφιεμένων, προκαταλαμβάνειν τούτους καὶ
own rule longing-for to-forestall them and
ἀφανίζειν, πρὶν ἢ τὰ τῆς ἐφέσεως εἰς μεῖζον
to-make-disappear before than the-things of-the longing to greater
ἀρθῇ· τούτου γὰρ μὴ γενομένου, ἀνέγκλιτα ἴσως γίνεται
be-raised this for not having-happened irremediable perhaps become
τὰ συμπτώματα. Οἱ μὲν γὰρ ἱκανώτατοι παντὶ τρόπῳ
the mishaps the indeed for most-capable in-every way
σπεύδουσι μὴ ἐμπεσεῖν ἀπευκταίῳ τινὶ, καὶ ἐναντίῳ
hasten not to-fall-into accursed any and contrary
συμπτώματι· οἱ δὲ ἧττονες τούτων καὶ καταδεέστεροι
mishap the and inferior to-these and more-deficient
περιπίπτουσι μὲν ἴσως τισὶ, μηχανῶνται δ' ὅμως τὴν οἰκείαν
fall-into indeed perhaps some contrive but yet the own
σωτηρίαν· οἱ δὲ ἄλλοι πάντῃ ἀφελεῖς, περιπεσόντες οὐκ
safety the but others wholly simple having-fallen-in not
ἀναφέρουσι. Καὶ τοῦτο παρόμοιόν ἐστι τοῖς τρισὶν ἰχθῦσι·
recover and this like is to-the three fishes
λέγεται γὰρ ὡς ἔν τινι λιμνηδίῳ πρὸς ποταμὸν συνάπτοντι
it-is-said for that in a pool to a-river joining
τρεῖς διῃτῶντο ἰχθύες· ὧν ὁ μὲν ἦν συνετώτατος,
three lived fishes of-whom the-one indeed was most-intelligent
ὁ δὲ ἧττον ἐχέφρων, ὁ δὲ πάντῃ ἠλίθιος. Συνέβη
the-other and less sensible the-other and wholly foolish it-happened
δὲ ἐλθεῖν δύο τινὰς ἁλιεῖς ἐπὶ τὸ τοιοῦτον λιμνήσιον ὕδωρ,
and to-come two some fishermen to the such pool water
καὶ συνθῆναι πρὸς ἀλλήλους, ὁπότε ὑποστρέψωσι σαγηνεῦσαι
and to-agree with one-another when they-return to-net
τοὺς ἰχθύας. Ὁ μὲν οὖν συνετώτατος τούτων, ἅμα τῷ
the fishes the indeed then most-intelligent of-them together-with the

ἀκοῦσαι τῶν τοιούτων, ἀπεδήμησε τῆς λίμνης πρὸς τὸν
to-hear the such-things departed from-the lake to the
παραῤῥέοντα ποταμόν· οἱ δὲ λοιποὶ δύο, ἀμελήσαντες τῆς
flowing-beside river the but remaining two having-neglected the
ἑαυτῶν σωτηρίας, προσεκαρτέρησαν. Ὅπερ ἰδὼν ὁ ἧττον
their-own safety persevered which having-seen the less
ἐχέφρων ἰχθὺς, μετεμελήθη ἐπὶ τῇ τοῦ δέοντος ἀβλεψίᾳ,
sensible fish repented at the of-the needful blindness
καὶ εἶπε πρὸς ἑαυτόν· τοιαύτη ἐστὶν ἡ τῶν ἀμελούντων
and said to himself such is the of-the neglectful
ἀπόβασις· ποῖα οὖν μηχανή ἐστι τῆς ἐμῆς σωτηρίας;
outcome what then device is of-the my safety
σπανίως γὰρ δρᾶται, καὶ κατὰ καιρὸν, ἡ μετὰ σπουδῆς
rarely for is-done and in season the with haste
ἐπιτηδευομένη μηχανή· ἀλλὰ μηδὲν τῶν εἰκότων παραλείψω.
pursued device but nothing of-the likely-things I-will-leave-out
Εἶτα ὑπεκρίθη τοῦ θανεῖν, καὶ ὕπτιος ὑπὸ τοῦ ὕδατος
then he-feigned the to-die and on-his-back by the water
ἐξεφέρετο· ᾧ δὴ πιστεύσαντες οἱ ἁλιεῖς, καὶ οἰκείαις χερσὶ
was-carried-out whom indeed having-believed the fishermen and with-own hands
λαβόντες αὐτὸν, ὡς τεθνεῶτα, ἔθηκαν μεταξὺ τοῦ λιμνηδίου,
having-taken him as dead placed between the pool
καὶ τοῦ ποταμοῦ, καὶ εὐθὺς τῷ ποταμῷ εἰσπηδήσας
and the river and at-once into-the river having-leaped
ἐσώθη. Ὁ δὲ ἠλίθιος ἐκεῖνος ἰχθὺς, πολλὰ μογήσας πηδῶν,
he-was-saved the but foolish that fish much having-toiled leaping
ἔνθεν κἀκεῖθεν ἀναστρεφόμενος, βιαίως ἐσαγηνεύθη. Οὕτω καὶ
hither and-thither turning-about violently was-netted thus also
πᾶς ἀνόητος πείσεται, τῆς αὐτοῦ μὴ προνοῶν σωτηρίας.»
every senseless-one will-suffer the his-own not providing-for safety

Ὁ δὲ λέων ἔφη· «Ἔγνων σου τὸ ὑπόδειγμα, ἀλλ᾽ οὐ
the and lion said I-learned your the example but not
δοκῶ τὸν ταῦρον, οὐδὲν παρ᾽ ἐμοῦ παθόντα δεινὸν, δόλιον
I-think the bull nothing from me having-suffered terrible crafty
φανῆναι.» Ὁ δὲ Ἰχνηλάτης εἶπε· «Τὸ μηδὲν παρά σου δεινὸν
to-appear — and Ichnelates said the nothing from you terrible
παθεῖν παρεσκεύασεν αὐτὸν σκευωρίαν κατά σου τοιαύτην
to-suffer has-prepared him a-plot against you such
συῤῥάψαι· τοσοῦτον γὰρ αὐτὸν ὕψωσας, ὡς πρὸς μηδένα
to-stitch-together so-much for him you-have-exalted that to no
ἕτερον βαθμὸν ἀφορᾷν, ἢ τὸν σόν. Ὁ γὰρ οὐκ εὐσυνείδητος
other rank to-look than the yours the for not conscientious
ἀνὴρ εὐνοίᾳ χρῆται πρότερον, ἄχρις ἂν καταλήψεται
man goodwill uses first until — he-will-have-seized
βαθμὸν, οὗ ἦν ἄξιος· τοῦτον δὲ καταλαβὼν, μηχανᾶται
rank of-which he-was worthy it and having-seized he-contrives
σὺν δόλῳ, καὶ κακουργεῖ τοῦ περαιτέρω προβῆναι. Καὶ
with guile and does-evil — further to-go-forward and
δι᾽ οὐδὲν ἕτερον ἐξυπηρετεῖται τοῖς ἡγεμόσιν, ἢ τοῦ
for nothing other he-serves the leaders than —
τυχεῖν τινος τῶν ἐφετῶν, καὶ ὑποκρίνεται τὸ σπουδαῖος
to-attain any of-the desired-things and he-pretends the earnest
φαίνεσθαι, ἄχρι τῆς τῶν ἐλπιζομένων καταλήψεως· τούτων
to-appear until the of-the hoped-for-things grasp these
δὲ τυχὼν, πρὸς πονηρὰν ἐπανακάμπτει φύσιν, ὡς καὶ
and having-attained to wicked he-returns nature as also
ἡ τοῦ κυνὸς οὐρὰ, φύσει λοξὴ οὖσα καὶ διεστραμμένη,
the of-the dog tail by-nature crooked being and twisted
ἐπειδὰν μίτῳ δεσμευθῇ, καὶ ἐκταθῇ, εὐθεῖα φαίνεται.
when with-thread it-is-bound and is-stretched straight appears

Καὶ ἴσθι, ὦ Βασιλεῦ, ὡς ὁ μὴ δεχόμενος παρὰ τοῦ
and know O King that the-one not receiving from the-one
εὐνοϊκῶς ὁμιλοῦντος τοὺς ἐπαχθεῖς λόγους, ἔοικε τῷ
well-disposedly conversing the burdensome words resembles the
νοσοῦντι, τῷ τὴν χρῆσιν τῶν πικρῶν φαρμάκων καὶ
sick-man the-one the use of-the bitter medicines and
λυσιτελῶν ἀποστρεφομένῳ, καὶ τοῦ ἰατροῦ παρακούοντι·
profitable turning-from and the physician disobeying
καὶ ἔσο πρὸς τούτοις εἰδὼς, ὡς κρείττων, ἐν ὑπηκόοις
and be besides these knowing that better among subjects
καὶ φίλοις, ὁ τῆς εὐνοίας ἀντιποιούμενος· καὶ ἐν
and friends the-one the goodwill claiming and among
τοῖς ἔργοις βέλτιον, τὸ ἀγαθὴν ἔχον ἀπόβασιν· ἐν δὲ
the deeds better the good having outcome among and
τοῖς ἐπαίνοις, ὁ παρὰ τῶν ἀγαθῶν ἀνδρῶν θρυλλούμενος
the praises the by the good men talked-of
ἔπαινος· ἐν δὲ τοῖς ἡγεμόσιν, ὁ μὴ τῇ οἰήσει καὶ τῇ
praise among and the leaders the-one not to-the conceit and to-the
ὑπερηφανίᾳ ἑαυτὸν ἐκδιδούς· ἐν δὲ τοῖς πλουσίοις, ὁ
arrogance himself giving-over among and the rich the-one
μὴ ὑπὸ τοῦ πολλοῦ μόχθου καὶ πόνου περισπώμενος· ἐν
not by the much labor and toil distracted among
δὲ τοῖς φίλοις, ὁ μὴ ἀντερίζων· λέγεται δὲ καὶ τοῦτο,
and the friends the-one not contending it-is-said and also this
ὡς αἱρετώτερόν ἐστιν ἐπὶ πυρᾶς καὶ ὄφεων ἐπιβῆναι, ἢ
that more-choosable it-is on a-pyre and snakes to-step than
συνοικεῖν τινι τῶν ἐπιβουλευόντων τῇ αὐτοῦ ζωῇ.»
to-live-with any of-those plotting-against the his-own life
Ὁ δὲ λέων ἔφη· «Συνετώτατα λέγεις, εἰ καὶ ἀπότομα·
the and lion said most-intelligently you-speak if even abruptly
ἀλλ᾽ εἰ θῶμεν τὸν ταῦρον οὑτωσὶ ἐχθρωδῶς πρὸς ἡμᾶς
but if we-suppose the bull thus hostilely toward us

ἔχοντα, οὐ δυνήσεται μέντοιγε βλάψαι, χλοηνόμος ὢν, ἐμοῦ
being not he-will-be-able however to-harm a-grass-grazer being I
ὠμοβόρου ὑπάρχοντος· μᾶλλον γὰρ ἡ φύσις ἐκεῖνον ἐμοὶ,
a-flesh-eater being rather for the nature him for-me
ἢ ἐκείνῳ ἐμὲ τροφὴν παρεσκεύασεν.» Ὁ δὲ Ἰχνηλάτης
than for-him me as-food prepared — and Ichnelates
εἶπε· «Μὴ πλανηθῇς τῷ τοιούτῳ σκοπῷ· εἰ γὰρ μὴ δι᾽
said not be-misled by-the such aim if for not through
αὐτοῦ σε ὁ ταῦρος καταβαλεῖν δυνήσεται, τοῦτο δι᾽
himself you the bull to-bring-down will-be-able this through
ἑτέρων ἐργάσεται· λέγεται γὰρ, ὡς εἰ ξεναγωγήσει σέ τις,
others he-will-work it-is-said for that if will-guide-as-guest you anyone
τὴν σεαυτοῦ μὴ πρότερον πιστεύσῃς σωτηρίαν, πρὶν ἢ τὴν
the your-own not first trust safety before than the
τούτου διάθεσιν διαγνῷς, μὴ ταὐτὸν πάθῃς τῷ τοῦ φθειρός.
his disposition you-discern lest the-same you-suffer as-the of-the louse
Φθεὶρ γάρ τις δεμνίοις τινὸς τῶν μεγιστάνων ἐπὶ
louse for a-certain in-the-bedding of-one of-the grandees for
μακρῷ ἀνεκέκρυπτο χρόνῳ, τρεφόμενος τῷ αἵματι αὐτοῦ
long had-hidden time feeding on-the blood his
ὑπνώττοντος, καὶ ἠρέμα τούτῳ προσέρπων, ἀφώρατος ἦν.
sleeping and quietly to-him creeping undetected was
Τῶν δὲ νυκτῶν μιᾷ κατέλυσέ τις παρ᾽ αὐτῷ ψύλλα, ἥτις
of-the and nights in-one lodged a with him flea which
ἀνυποστόλως καὶ αὐθαδῶς πλήξας τὸν ἄνδρα ὑπνώττοντα,
unrestrainedly and boldly having-struck the man sleeping
ἐξύπνησεν· ὁ δὲ εὐθέως ἐγερθεὶς, καὶ τὴν ἑαυτοῦ στρωμνὴν
woke he and at-once having-risen and the his-own bed
ψηλαφήσας, τὸν φθεῖρα εὑρὼν, ἀπέκτεινε, ταχέως τῆς
having-felt the louse having-found killed quickly the
ψύλλας ἐκπηδησάσης, καὶ διασωθείσης. Εἰ οὖν σὺ τὸν
flea having-leapt-out and having-been-saved if then you the

ταῦρον οὐ φοβῇ, τοὺς ὑπό σε δειλιάσῃς ἀνεπανισταμένους
bull not fear those under you you-should-dread rising-up
σοι.» Ὁ δὲ λέων τοῖς τούτου πεισθεὶς λόγοις, ἔφη· «Καὶ
against-you the and lion by-the his persuaded words said and
τί δεῖ πρὸς ταῦτα ποιεῖν;» — «Ὁ σεσημμένος ὀδοὺς
what is-needful to these-things to-do the decayed tooth
(ὑπολαβὼν ἔφη ὁ Ἰχνηλάτης,) οὐκ ἄλλως ἰᾶται, εἰ μὴ
answering said — Ichnelates not otherwise is-healed if not
ἐκβληθῇ· καὶ τῆς διαφθαρείσης τροφῆς ἡ βλάβη διὰ τοῦ
it-be-cast-out and of-the corrupted food the harm through the
ἐμέτου ἐκδιώκεται.» Ὁ δὲ λέων ἔφη· «Δηλώσω λοιπὸν
vomiting is-driven-out the and lion said I-will-make-known henceforth
τούτῳ ἀπελθεῖν, ἔνθα βούλεται.» Ὁ δὲ Ἰχνηλάτης εἰδὼς
to-him to-go-away where he-wishes — and Ichnelates knowing
ὡς, εἰ ὁμιλήσῃ τῷ λέοντι ὁ ταῦρος, ἀποκαλυφθήσεται
that if should-converse with-the lion the bull will-be-uncovered
ἡ μεταξὺ τούτων σκευωρία, εἶπεν· «Οὐ συνορῶ τοῦτο
the between them plot said not I-see this
εἶναι λυσιτελές· εἰ γὰρ διαγνώσεται ὁ ταῦρος, ὡς παρά
to-be profitable if for will-discern the bull that with
σοι ἐφωράθη, ἐχθρὸς γενήσεται, καὶ πρὸς ἀντιπαράταξιν
you he-was-detected an-enemy he-will-become and for counter-array
παρασκευασθήσεται· οἱ γὰρ συνετώτατοι τῶν Βασιλέων
will-be-prepared the for most-intelligent of-the Kings
φανερῶς μὲν τιμωροῦσι τὸν προδήλως πταίσαντα,
openly indeed punish the-one manifestly having-erred
κρυφίως δὲ τὸν ἀδήλως.» Ὁ δὲ λέων ἔφη· «Ὅτε ὁ
secretly but the-one unmanifestly the and lion said when the
Βασιλεὺς ἐξ ὑπολήψεως ἐπενέγκῃ τινὶ τιμωρίαν, καὶ
King from suspicion inflicts on-one punishment and
ἀτιμίαν, καὶ μὴ ἀληθὴς δειχθείη ἡ ὑπόληψις, ἑαυτὸν
dishonor and not true be-shown the suspicion himself

μᾶλλον ἠτίμησεν.» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ὅτε εἰσέλθῃ
rather dishonored — and Ichnelates said when comes-in
πρός σε ὁ ταῦρος, ἕτοιμος ἔσο· ἐκ γὰρ πρώτης
to you the bull ready be from for first
ὀφθαλμῶν ἐπιβολῆς διαγνώσῃ τὸ βούλημα αὐτοῦ· ὄψῃ
of-eyes glance you-will-discern the will his you-will-see
γὰρ ὠχρὸν τὸν τοιοῦτον, καὶ ὑπότρομον τὰ μέλη,
for pale the such and trembling the limbs
καὶ ἐπὶ δεξιᾷ καὶ ἀριστερᾷ κλονούμενον, καὶ κερατίσαι
and to right and left tossed and to-butt
βουλόμενον.» Ὁ δὲ λέων ἔφη· «Εἰ τοιαῦτα σημεῖα ἴδω,
wishing the and lion said if such signs I-see
πληροφορηθῶ ἐν τοῖς σοῖς ῥήμασιν.» Ἐβουλήθη οὖν ὁ
I-shall-be-assured in the your words wished then —
Ἰχνηλάτης πρὸς τὸν ταῦρον ἀπελθεῖν, καὶ διεγεῖραι τοῦτον
Ichnelates to the bull to-go-away and to-rouse him
κατὰ τοῦ λέοντος· καὶ συνεῖδε, μὴ ἄνευ γνώμης τοῦ
against the lion and saw not without judgment of-the
λέοντος προσομιλῆσαι αὐτῷ, μήπως ἀκούσας ὁ λέων τὸ
lion to-converse with-him lest having-heard the lion the
τοιοῦτον, διαγνῷ τὸν δόλον, καὶ εἶπεν· «Εἰ προστάττεις,
such he-discern the guile and he-said if you-order
ὦ Βασιλεῦ, ἀπελεύσομαι πρὸς αὐτὸν, καὶ ἴδω τὴν τούτου
O King I-will-go to him and may-see the his
διάθεσιν, καὶ οὐ λήσεταί με ἡ διάνοια αὐτοῦ ἐκ πρώτης
disposition and not will-escape me the mind his from first
ὁμιλίας.» Ὁ δὲ λέων προσέταξεν αὐτῷ ἀπελθεῖν.
converse the and lion ordered him to-go-away
Καταλαβὼν οὖν ὁ Ἰχνηλάτης τὸν ταῦρον, εἰσῆλθε πρὸς
having-reached then — Ichnelates the bull came-in to
αὐτὸν σκυθρωπὸς καὶ κατηφής. Ὁ δὲ ταῦρος εὐμενῶς
him sullen and downcast the and bull kindly

προσεδέξατο αὐτὸν, καὶ περὶ τῆς βραδυτῆτος ἐπηρώτησε,
received him and about the slowness asked
καὶ εἶπε· «Πάντως ἀγαθὸν τὸ ταύτης αἴτιον; Καὶ ὁ
and said surely good the of-it cause and —
Ἰχνηλάτης, «Καὶ ποῖον πάρεστιν ἀγαθὸν τῷ μὴ
Ichnelates and what is-present good to-the-one not
ἑαυτοῦ κυριεύοντι, ἀλλ' ἑτέρῳ ἀπηρτημένῳ, ἀπίστου
himself ruling but on-another hanging untrustworthy
καὶ ἀβεβαίου;» Ὁ δὲ ταῦρος ἔφη· «Καὶ τί γέγονε
and unstable the and bull said and what has-happened
καινόν;» Καὶ ὁ Ἰχνηλάτης· «Καὶ τίς δυνήσεταί φησι, τὴν
new and — Ichnelates and who will-be-able he-says the
εἱμαρμένην ἐκφυγεῖν; ἢ τίς τοῖς ἡγεμόσι παρεδρεύων, καὶ
fate to-escape or who the leaders sitting-by and
ἐξυπηρετούμενος ἀβλαβὴς ἀπηλλάγη; ἐοίκασι γὰρ οὗτοι
serving unharmed got-off they-resemble for these
πόρναις γυναιξὶν, αἵτινες πολλοῖς ἀνδράσι συζεύγνυνται·
harlot women who many men are-yoked-with
ἢ διδασκαλείῳ, εἰς ὃ φοιτῶσι παῖδες, καὶ ὑποχωροῦσιν,
or a-school to which go children and withdraw
ἀεὶ ἕτεροι ἀνθ' ἑτέρων εἰσερχόμενοι. Οἶδας τὴν μεταξὺ
always others in-place-of others coming-in you-know the between
ἡμῶν συστᾶσαν φιλίαν, καὶ ὡς αἴτιός σοι γέγονα τῆς
us established friendship and that cause to-you I-have-become of-the
πρὸς τὸν λέοντα ἀφίξεως, καὶ τοῦτο με πείθει εὐνοϊκώτατα
to the lion arrival and this me persuades most-well-disposedly
προσομιλῆσαί σοι νῦν· εἶπε γάρ μοι τις τῶν πιστοτάτων,
to-converse with-you now said for to-me one of-the most-faithful
ὡς ὁ λέων ἔφη πρός τινας τῶν ἀμφ' αὐτὸν, ὅτι βούλεταί
that the lion said to some of-those about him that he-wishes
σε καταφαγεῖν, διὰ τὸ λιπανθῆναι καὶ ὀγκωθῆναί σε,
you to-eat-up because-of the to-have-grown-fat and to-have-swelled you

καὶ τοῦτο ἀκούσας ἦλθον δηλῶσαί σοι, ἵνα περιποιήσῃς
and this having-heard I-came to-make-known to-you that you-may-secure
σεαυτῷ τὸ ἀσφαλές.» Ὡς οὖν ἤκουσεν ὁ ταῦρος τοὺς
for-yourself the safety as then heard the bull the
τοιούτους λόγους, ἐφρόντισε λίαν, καί φησι· «Τί κακὸν
such words he-took-thought greatly and says what evil
ἔδρασα τῷ λέοντι; ἢ πρὸς τίνα τῶν ἀμφ' αὐτὸν
did-I-do to-the lion or with whom of-those about him
ἐκοινολογησάμην, ἵνα περὶ ἐμοῦ τοιαῦτα διανοηθῇ; ἀλλ' οἱ
did-I-confer that about me such-things he-may-think but those
περὶ αὐτὸν, φθονεροὶ ὄντες, κατεψεύσαντό μου, τῷ φθόνῳ
about him envious being lied-against me by-the envy
διαβαλλόμενοι· ἡ γὰρ τῶν πονηρῶν ὁμιλία ἐναντίας
slandering the for of-the wicked converse contrary
ἀπογεννᾷν εἴωθεν ὑπολήψεις περὶ τοὺς ἀγαθοὺς ἄνδρας.»
to-beget is-accustomed suspicions about the good men
Ὁ δὲ Ἰχνηλάτης ὑπολαβὼν εἶπεν· «Οὐκ ἔτι τοῦτο
— and Ichnelates answering said not any-longer this
αἴτιον ταύτης αὐτοῦ τῆς πρός σε διαθέσεως· ἀλλ' ἔστιν
the-cause of-this his the toward you disposition but he-is
ἀεὶ ἄστατος, ἄφιλος, ἀγνώμων, ἀβέβαιος, καὶ πρῶτον
always unstable friendless unfeeling unreliable and first
μὲν γλυκὺς, εἶτα δὲ πικρὸς φαινόμενος.» Ὁ δὲ ταῦρος
indeed sweet then and bitter appearing the and bull
ἔφη· «Καλῶς εἶπας· ἐγευσάμην γὰρ αὐτοῦ γλυκύτητος
said well you-spoke I-tasted for his sweetness
πρότερον, καὶ κατήντησα μέχρι τοῦ πικροῦ δηλητηρίου· καὶ
before and arrived as-far-as the bitter poison and
τί με δεῖ διάγειν παρὰ λέοντι αἱμοβόρῳ, χλοηνόμος
why me is-it-needful to-live with a-lion blood-eating a-grass-grazer
ὤν; ἡ γὰρ πλεονεκτικὴ γνώμη τοιούτῳ με συμπτώματι
being the for grasping judgment in-such me a-mishap

περιέπλεξε, παρόμοιόν τι παθόντα ταῖς ἄφροσι
entangled like something having-suffered to-the senseless
μελίτταις, αἵτινες ἀσπαστὸν ἡγούμεναι τὸ ἐπικαθῆσθαι τοῖς
bees who welcome deeming the to-sit-upon the
ἄνθεσιν, οὐ πρότερον ἀφίστανται, πρὶν ἢ συμμιγέντων
flowers not sooner leave before than being-mixed
τοῖς ἄνθεσι τῶν φύλλων ἀποπνιγῶσι. Καὶ ὁ μὴ
with-the flowers the leaves they-be-choked and the-one not
τοῖς ὀλίγοις ἀρκούμενος ἐν τῷ βίῳ, ἀλλ' ἐπιτείνων
with-the few being-content in the life but straining
τοὺς ὀφθαλμοὺς ἐπὶ τὰ πόῤῥω, καὶ μὴ διαλογιζόμενος
the eyes to the-things far and not reasoning-out
τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν, πείσεται τὰ τῶν
the-things before and the-things behind will-suffer the-things of-the
μυιῶν, αἵτινες οὐκ ἀρκοῦνται τοῖς δένδροις καὶ τοῖς
flies who not are-content with-the trees and the
ἄνθεσιν, ἀλλ' ἐνίοτε περιπέτονται τῷ ῥύπῳ τῶν ὤτων
flowers but sometimes fly-about the dirt of-the ears
τοῦ λέοντος· δι' ὃ καὶ πολλάκις πληγεῖσαι θνήσκουσιν.»
of-the lion for which also often struck they-die
Ὁ δὲ Ἰχνηλάτης «Ἄφες, εἶπε, τὰ πολλὰ καὶ τὰ ἄκαιρα,
— and Ichnelates leave he-said the many-things and the untimely
καὶ σκόπει βουλὴν ἐφευρεῖν, ἥ σε σώσει τοῦ θανάτου.»
and consider a-counsel to-find-out which you will-save from-the death
Ὁ δὲ ταῦρος ἔφη· «Ὁ μὲν τοῦ λέοντος σκοπὸς ἀκέραιός
the and bull said the indeed of-the lion aim pure
ἐστιν· ἀλλ' οἱ περὶ αὐτὸν, πονηροὶ ὄντες, οὐκ ἐῶσιν αὐτὸν
is but those about him wicked being not allow him
ἀγαθὸν εἶναι, καὶ τὸ τοιοῦτον σύστημα πολλάκις, κἂν
good to-be and the such company often even-if
ἀδύνατον ᾖ, ἀναιρεῖ τὸν ἀθῷον καὶ ὅσιον, ὡς ὁ λύκος,
impossible it-be destroys the innocent and holy as the wolf

καὶ ὁ κόραξ καὶ ὁ θώς. Λέγεται γὰρ, ὡς λέων τις
and the raven and the jackal it-is-said for that lion a-certain
παρά τινι διῃτᾶτο ὕλῃ, ἧς πλησίον ὁδὸς ἦν· ἦσαν δὲ
by a lived wood of-which near a-road was were and
ἐκεῖσε τρία ζῶα ἀλλήλοις συμφιλιούμενα· λύκος, κόραξ
there three animals with-one-another befriended a-wolf a-raven
καὶ θώς. Ἐμπόρων δέ ποτε τινῶν διερχομένων, ἀπελείφθη
and a-jackal merchants and once some passing-through was-left-behind
ἐξ αὐτῶν κάμηλος, ἥτις πρὸς τὸν λέοντα ἐλθοῦσα,
of them a-camel which to the lion having-come
ἀνήγγειλε τὰ κατ᾽ αὐτήν. Ὁ δὲ λέων εἶπεν αὐτῇ·
reported the-things about her the and lion said to-her
«Εἰ βούλει τὴν ἐμὴν ξυναυλίαν, ἔσται σοι πάντως, καὶ
if you-wish the my living-together it-will-be for-you by-all-means and
διάξεις ἐν ἀμεριμνείᾳ, καὶ βίου εὐθηνίᾳ, καὶ ἀνέσει τὸν
you-will-live in freedom-from-care and of-life plenty and ease the
πάντα τῆς ζωῆς χρόνον.» Καὶ διέμεινεν ἐκεῖσε ἡ κάμηλος,
all of-the life time and remained there the camel
ἄχρις ὅτου, ἐν μιᾷ τῶν ἡμερῶν, ὅτε ἐξελθὼν ἐπὶ θήραν
until — in one of-the days when having-gone-out for hunting
ὁ λέων συνήντησεν ἐλέφαντι, καὶ συνεπλάκη τούτῳ, καὶ
the lion met an-elephant and grappled-with it and
τραυματισθεὶς ὑπέστρεψεν ἄπρακτος, καθημαγμένος τὰς
having-been-wounded returned unsuccessful bloodied in-the
σάρκας, καὶ ἀνεκλίθη τῇ νόσῳ δεδαμασμένος, καὶ μήτε
flesh and lay-down by-the sickness subdued and neither
θηρεῦσαι δυνάμενος, μήτε ἑτέρωθι μεταβῆναι. Ἀπέλειψαν οὖν
to-hunt being-able nor elsewhere to-move failed then
αὐτὸν αἱ τροφαὶ, καί φησι τοῖς περὶ αὐτόν· «Ἀπειρήκατε,
him the foods and says to-those about him you-have-given-out
ὡς οἶμαι, τῷ λιμῷ πιεζόμενοι.» Οἱ δὲ εἶπον· «Ἡμεῖς μὲν
as I-think by-the hunger pressed they and said we indeed

ἑαυτῶν φροντίσαι δυνάμεθα· περὶ σοῦ δὲ μόνον ἀλύομεν,
for-ourselves to-take-thought are-able about you but only we-are-distraught
καὶ εἴγε ἠδυνήθημεν εὑρεῖν, δι᾽ οὗ συ μὲν αὐτὸς
and if-indeed we-had-been-able to-find through which you indeed yourself
ὠφεληθήσῃ, ἡμεῖς δὲ πάντες βλαβησόμεθα, προθύμως ἂν
will-be-benefited we but all will-be-harmed eagerly —
τὸ τοιοῦτον πράξαιμεν.» Ὁ δὲ εἶπεν· «Οὐκ ἐνδοιάζω περὶ
the such we-would-do he and said not I-doubt about
τῆς ἡμετέρας εὐνοίας· ἀλλὰ διασκεδάσθητε ὑμεῖς πανταχοῦ,
the our goodwill but scatter you everywhere
εἴ πως εὑρήσητε τὰ αὐτάρκη ὑμῖν τε καὶ ἐμοί.»
if somehow you-may-find the-things sufficient for-you both and for-me
Οἱ δὲ ἔγγιστά που ἀναχωρήσαντες συνελογίσαντο πρὸς
they and nearest somewhere having-withdrawn reckoned with
ἀλλήλους λέγοντες· «Τί ἡμῖν καὶ τῇ καμήλῳ ταύτῃ, τῇ
one-another saying what to-us and to-the camel this the
χλοηνόμῳ καὶ ἑτεροφυεῖ οὔσῃ πρὸς ἡμᾶς, καὶ ἑτεροβίῳ;
grass-grazing and of-another-nature being to us and of-another-life
ἀλλ᾽ εἰ δοκεῖ, διερεθίσωμεν τὸν λέοντα ταύτην καταφαγεῖν.»
but if it-seems let-us-provoke the lion her to-eat-up
Καὶ ὁ μὲν θὼς εἶπε· «Τοῦτο ἀδύνατόν ἐστιν ἡμῖν
and the indeed jackal said this impossible is for-us
ἀριδηλότατα διασαφῆσαι τῷ λέοντι, συνθήκας ἤδη πρὸς
most-clearly to-make-plain to-the lion compacts already with
αὐτὴν ποιησαμένῳ.» Ὁ δὲ κόραξ εἶπε· «Μείνατε ἐνταῦθα
her having-made the and raven said stay here
ὑμεῖς, καὶ ἐάσατε μόνον ἐμὲ σὺν ἐκείνῳ.» Ἀπῆλθεν οὖν ὁ
you and let alone me with him went-away then the
κόραξ πρὸς αὐτὸν, καὶ ἰδὼν αὐτὸν ὁ λέων, ἔφη· «Ἆράγε
raven to him and having-seen him the lion said then
ἐπίθου τινὸς, ἢ ἔγνως τί;» Καὶ ὁ κόραξ·
have-you-learned anything or have-you-known something and the raven

«Σὺ γινώσκεις τὰ περὶ ἡμᾶς· ἡμεῖς γὰρ τῆς ὄψεως
you know the-things about us we for of-the sight
ἐστερήμεθα, δι᾽ ἣν ὑπέστημεν ἔνδειαν· ἀλλὰ δυνάμεθά
have-been-deprived because-of which we-underwent want but we-are-able
σοι ἐξυπηρετήσασθαι, εἰ ὑπακούσας ἡμῶν κατάξεις
you to-serve if having-obeyed us you-will-bring-down
τὴν μεθ᾽ ἡμῶν ἀναστρεφομένην κάμηλον.» Ὁ δὲ λέων
the with us living camel the and lion
ὀργισθεὶς εἶπε· «Βαβαὶ τῆς ἀπηνίας καὶ ὠμότητος!
having-been-angered said oh of-the harshness and cruelty
ἢ οὐκ οἶσθα, ὡς συνθήκας καὶ φιλικὴν συμφωνίαν πρὸς
or not do-you-know that compacts and friendly agreement with
αὐτὴν ἐποίησα; Οὐκ ἔδει σε ῥήμασί με τοιούτοις
her I-made not it-was-needful you with-words me such
προσερεθίσαι· ἀδύνατόν μοι καθέστηκε τοῦτο.» Ὁ δὲ κόραξ
to-provoke impossible to-me has-become this the and raven
πάλιν εἶπε· «Καλῶς εἴρηκας, ὦ Βασιλεῦ· ἀλλ᾽ ἡ μία ψυχὴ
again said well you-have-spoken O King but the one soul
ὑπὲρ ὅλου οἴκου προδίδοται, καὶ οἶκος ὅλος ὑπὲρ πόλεως,
for a-whole house is-given-up and a-house whole for a-city
καὶ πόλις ὑπὲρ κλίματος (ἐπαρχίας), καὶ κλίμα (ἐπαρχία)
and a-city for a-region (province) and a-region (province)
ὑπὲρ Βασιλείας. Καὶ ἡμεῖς συγκατατρυχόμεθα σήμερον τῇ
for a-Kingdom and we are-worn-down-together today by-the
τῶν ἀναγκαίων ἐνδείᾳ, καὶ πῶς εὑρήσομέν σοι πόρον,
of-the necessities want and how shall-we-find for-you a-way
ᾧ τηρηθείης πάσης ἀνώτερος μέμψεως;» Καὶ ταῦτα
by-which you-may-be-kept of-all above blame and these-things
εἰπὼν ἐπανῆλθε πρὸς τοὺς ἑταίρους, ἀναγγείλας αὐτοῖς
having-said he-returned to the companions having-reported to-them
ὅσα εἶπε τῷ λέοντι, καὶ ὅσα παρ᾽ αὐτοῦ ἤκουσεν.
what he-said to-the lion and what from him he-heard

Οἱ δὲ τοιοῦτον δόλον συνέῤῥαψαν, ὥστε ὁμοῦ πάντες σὺν
they and such guile stitched-together so-that together all with
τῇ καμήλῳ προσελθεῖν τῷ λέοντι, καὶ ἕκαστον δωρεῖσθαι
the camel to-approach the lion and each to-give
ἑαυτὸν πρὸς διατροφὴν, καὶ ἀπολογίαν τοὺς λοιποὺς
himself for food and defense the rest
ὑπὲρ ἑκάστου ποιήσασθαι, πλὴν τῆς καμήλου· καὶ τοῦτο
for each to-make except the camel and this
σκευωρήσαντες προσῆλθον τῷ λέοντι. Πρῶτος δὲ ὁ κόραξ
having-plotted they-approached the lion first and the raven
εἶπεν· «Ὁρῶ σε, ὦ Βασιλεῦ, πάνυ τῇ νόσῳ βεβαρημένον·
said I-see you O King very by-the sickness weighed-down
καὶ πολλαί σου εἰσὶν αἱ πρὸς ἐμὲ πρότερον εὐποιΐαι· ἀλλ᾽
and many your are the to me formerly good-deeds but
οὐκ ἔχω τι, ὧν γε προσοίσω σοι, ἀλλ᾽ ἢ ἐμαυτόν·
not I-have anything of-which indeed I-may-bring to-you other than myself
κατέσθιε λοιπὸν ἀνυποστόλως.» Οἱ δὲ εἶπον· «Παῦσαι τοῦ
eat now unrestrainedly they and said stop the
λήρου· βραχὺς εἶ τὸ σῶμα καὶ μηδαμινός.» Ὁ δὲ θὼς
nonsense small you-are in-the body and worthless the and jackal
εἶπεν· «Ἀλλ᾽ ἐγὼ σοι, ὦ Βασιλεῦ, ἱκανὴ τροφὴ ἔσομαι
said but I to-you O King sufficient food will-be
σήμερον.» Ὁ δὲ λύκος ἔφη· «Παῦσαι καὶ σὺ, δυσῶδες
today the and wolf said stop also you foul-smelling
γάρ σου τὸ σῶμα, καὶ πρὸς τροφὴν ἀνεπιτήδειον· μᾶλλον
for your the body and for food unsuitable rather
ἐγὼ πρὸς τοῦτο εὐθετώτερος.» Ὁ δὲ θὼς καὶ ὁ κόραξ
I for this more-fit the and jackal and the raven
ἀπεκρίναντο· «Εἴτις βούλεται κυνάγχῃ περιπεσεῖν ὅλως,
answered if-anyone wishes into-quinsy to-fall altogether
ἀπογευσάσθω σου τῶν σαρκῶν.» Ὑπέλαβεν οὖν ἡ κάμηλος,
let-him-taste your the flesh supposed then the camel

ὡς καὶ ὑπὲρ αὐτῆς ἀπολογήσονται, καί φησιν· «Ἀλλ᾽ ἐγὼ
that also for her they-will-make-defense and says but I
καὶ σαρκῶν εὐπορῶ, καὶ ἡδυτάτῃ τῷ βουλομένῳ τροφῇ
also in-flesh abound and most-sweet to-the-one wishing food
εἰμι.» Οἱ δὲ ὁμοῦ μεγάλως ἐβόησαν· «Ἀληθέστατα εἶπας,
am they and together loudly shouted most-truly you-spoke
ὦ κάμηλε,» καὶ διεσπάραξαν αὐτήν. Δέδοικα γοῦν κἀγώ,
O camel and tore-apart her I-fear at-any-rate I-too
μὴ ταὐτόν τι πάθω τῇ καμήλῳ παραπλήσιον παρὰ
lest the-same something I-suffer to-the camel like from
τῶν τοῦ λέοντος ὑπηκόων, μὴ βουλομένου αὐτοῦ τὴν ἐμὴν
the of-the lion subjects not wishing he the my
ἀπώλειαν· ῥανὶς γάρ, φασιν, ἐνδελεχοῦσα κοιλαίνει πέτραν.
destruction a-drop for they-say persisting hollows a-rock
Ἀλλ᾽ ἑτοιμασθήσομαι λοιπὸν πρὸς ἀντιπαράταξιν αὐτῷ·
but I-will-be-prepared henceforth for counter-array against-him
οὔτε γὰρ τοσοῦτος μισθὸς ἀποταμιεύεται τῷ πολλὰ
not for so-great a-reward is-stored-up for-the-one many-things
εὐχομένῳ, ἢ τῷ ἱλαροδότῃ, ἢ τῷ ἀσκητῇ, ὅσος τῷ
praying or for-the cheerful-giver or for-the ascetic as for-the-one
ἑαυτὸν θανάτου ῥυσαμένῳ, κἂν πρὸς μίαν καιροῦ ῥοπήν.»
himself from-death having-rescued even for one of-time turn
Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Οὐ δεῖ τινα κινδυνώδει
— and Ichnelates said not it-is-needful anyone with-a-dangerous
πράγματι δι᾽ ἑαυτοῦ προσπλακῆναι· καὶ γὰρ ὁ ἐχέφρων
matter through himself to-grapple and for the sensible
ἀνὴρ, μετὰ πᾶσαν ἄλλην μέθοδον, τῷ πολέμῳ ὕστερον
man after every other method the war last
ἐπιχειρεῖ· οὐ δεῖ δὲ καταφρονεῖν τοῦ ἐχθροῦ, εἰ καὶ
attempts not it-is-needful and to-despise the enemy if even
ἀδύνατός ἐστι, καὶ μάλιστα, εἰ συνέσει κατωχύρωται.
weak he-is and most if with-understanding he-is-fortified

Ἄκουσον δέ μου εὐνοϊκώτατά σοι προσομιλοῦντος· ὁ
hear and me most-well-disposedly to-you conversing the
γὰρ μὴ τοὺς ὀνησιφόρους λόγους παρὰ τῶν φίλων
for not the beneficial words from the friends
δεχόμενος, ταὐτὸ πείσεται τῇ ἀλκυόνι, ὅπερ ἔπαθε παρὰ
receiving the-same will-suffer as-the halcyon which suffered from
τῆς Νηρηΐδος, ἥτις κέκλοφε τοὺς ταύτης νεοσσοὺς, καὶ
the Nereid who stole the her young and
πάλιν φοβηθεῖσα ὑπέστρεψεν αὐτοὺς διὰ τὴν πρὸς
again having-been-afraid returned them because-of the against
ἐκείνην ἀντιπαράταξιν. Λέγεται γὰρ, ὡς ἔν τινι αἰγιαλῷ
her counter-array it-is-said for that on a shore
κατῴκει ὄρνεον, καλούμενον ἀλκυὼν, σὺν τῇ συνεύνῳ· ἡ
dwelt a-bird called halcyon with the mate the
δὲ σύνευνος, ἐγγίσασα τῷ τεκεῖν, εἶπε τῷ ἀνδρὶ
and mate having-drawn-near to-the to-give-birth said to-the husband
αὐτῆς· «Εἰ εὑρήσεις ἡμῖν τόπον ὀχυρὸν τῷ φωλεῦσαι,
her if you-will-find for-us a-place strong — to-nest
καὶ γεννῆσαι ἐν αὐτῷ, κρεῖττόν ἐστι· καὶ γὰρ φοβοῦμαι
and to-bring-forth in it better it-is and for I-fear
μήπως, τῆς θαλάσσης οἰδουμένης, ἐλθοῦσα ἡ Νηρηὶς
lest the sea swelling having-come the Nereid
λάβῃ τοὺς νεοσσοὺς ἡμῶν. «Ἡ δὲ εἶπεν· Τέκε ἐνθάδε· ὁ
take the young our she and said give-birth here the
γὰρ τόπος οὗτος χλοηφόρος καὶ ὑδατώδης, καὶ πάνυ ἡμῖν
for place this grassy and watery and very for-us
ἐπιτήδειος.» Λέγει δὲ αὐτῷ ἡ ὁμόζυγος· «Πρόσεχε τοίνυν·
suitable says and to-him the mate take-heed then
οὐκ ἀφόβως γὰρ ἐνθάδε ὑπὸ τῆς Νηρηΐδος διάξωμεν.»
not fearlessly for here by the Nereid we-shall-live
Ὁ δὲ, «Οὐ τολμήσει, φησὶν, ἐγῷμαι, ποιῆσαι τοῦτο·
he and not she-will-dare he-says I-think to-do this

ἀντιπαραταξώμεθα γὰρ αὐτῇ.» Ἡ δὲ ἔφη· «Οὐκ αἰσχύνῃ
we-will-array-against for her she and said not are-you-ashamed
ταῦτα λέγειν, καὶ ἀπειλεῖν τῇ Νηρηΐδι; ἢ οὐκ οἶσθα
these-things to-say and to-threaten the Nereid or not do-you-know
τὴν σὴν δύναμιν; ἀλλ᾽ οὖν ἄκουσόν μου, καὶ μετάστησον
the your power but then hear me and move
ἡμᾶς ἐκ τοῦδε τοῦ χώρου· ὁ γὰρ μὴ ἀκούων τοῦ
us out-of this the place the-one for not hearing the-one
εὐνοϊκῶς νουθετοῦντος, πείσεται τὸ τῆς χελώνης. Λέγεται
well-disposedly admonishing will-suffer the of-the tortoise it-is-said
γὰρ, ὡς ἔν τινι πηγῇ νῆτται ἐδιαιτῶντο δύο, καὶ μία
for that in a spring ducks lived two and one
χελώνη, ἀλλήλαις συμφιλιούμεναι· τοῦ δὲ τῆς πηγῆς
tortoise with-one-another befriended the and of-the spring
ὕδατος ἐκλιπόντος, διενοήθησαν ἐκεῖθεν μεταστῆναι ἐφ᾽
water having-failed they-intended thence to-move to
ἕτερον ὕδωρ. Ὡς οὖν ἔμελλον μετακομισθῆναι, εἶπεν
other water as then they-were-about to-be-carried-away said
αὐταῖς ἡ χελώνη· «Ὑμῖν μὲν μέλει οὐδὲν περὶ τῆς
to-them the tortoise to-you indeed matters nothing about the
τοῦ ὕδατος ἐκλείψεως· ἐμοὶ δὲ τῇ ἀθλίᾳ, πόρον ζωῆς
of-the water failing to-me but the wretched a-way of-life
ἕτερον οὐκ ἐχούσῃ, καὶ πάνυ μελήσει· ἀλλ᾽ ἄρατέ με,
other not having even very it-will-matter but take-up me
δέομαι, τῶν ὧδε, καὶ κομίσατε σὺν ἡμῖν αὐταῖς.»
I-beg from-the-things here and carry with us ourselves
Αἱ δὲ εἶπον· «Εἰ μὴ πρότερον ἐπομόσῃς ἡμῖν, ὡς οὐδὲν
they and said if not first you-swear to-us that nothing
φθέγξῃ παρ᾽ ἡμῶν φερομένη, οὐκ ἄν σε μετακινήσωμεν,
you-will-utter by us being-carried not — you we-would-move
ἢ μετοικήσωμεν.» Ἡ δὲ ἐπωμόσατο· καὶ λαβοῦσαι αἱ
or remove she and swore and having-taken the

νῆτται ξύλον ἀπευθυσμένον ἐπέτρεψαν αὐτῇ δακεῖν τὸ
ducks a-stick straightened let her bite the
μέσον αὐτοῦ· καὶ τούτου γεγονότος, λαβοῦσα ἑκάστη τῶν
middle of-it and this having-happened having-taken each of-the
νηττῶν τὸ τοῦ ξύλου ἄκρον, ἦραν εἰς ἀέρα δι' αὐτοῦ
ducks the of-the stick end raised into air through it
τὴν χελώνην. Καί τινες τῶν κάτω ἐρχομένων, ἰδόντες τὴν
the tortoise and some of-those below going having-seen the
χελώνην ἀνηρτημένην, καὶ τὰς νήττας πετομένας, ἔφασαν·
tortoise hung-up and the ducks flying said
«Οὐχ ὁρᾶτε τέρας; χελώνην μέσον δύο νηττῶν ἐπ'
not do-you-see a-portent a-tortoise between two ducks through
ἀέρος φερομένην;» Ἡ δὲ τοῦτο ἀκούσασα, ὑπὸ φιλοτιμίας,
air being-carried she and this having-heard from love-of-honor
«Ἀνωτέρη, ἔφη, ἵπταμαι ὑμῶν·» καὶ ἀνοίξασα τὸ στόμα,
higher she-said I-fly than-you and having-opened the mouth
ἵνα τὸ ἔπος προφέρῃ, πεσοῦσα εἰς τὴν γῆν, συνετρίβη.
that the word she-may-utter having-fallen to the earth was-crushed
Τοιαῦτα πείσεται καὶ ὁ μὴ ἀκούων αὐτῷ ὁμιλοῦντι.»
such-things will-suffer also the-one not listening to-him conversing
Ἡ δὲ ἀλκυὼν εἶπεν· «Ἔγνων ἃ λέγεις· τέκε δ' οὖν, καὶ
the and halcyon said I-learned what you-say give-birth and then and
μὴ φοβοῦ τὴν Νηρηΐδα.» Γεννησάσης δὲ, ἦλθεν ἡ Νηρηΐς,
not fear the Nereid having-brought-forth and came the Nereid
καὶ λαβοῦσα τοὺς νεοσσοὺς σὺν τῇ φωλεᾷ ἀπῆλθεν. Ἡ δὲ
and having-taken the young with the nest went-away she and
στραφεῖσα εἶπε τῷ συνεύνῳ· «Ἐγὼ μὲν προέλεγον ταῦτα,
having-turned said to-the mate I indeed foretold these-things
σὺ δὲ ἠπίστεις, καὶ διὰ τοῦτο ταῦτα πεπόνθαμεν.»
you but disbelieved and because-of this these-things we-have-suffered
Ἡ δὲ ἀλκυὼν ἔφη· «Ἀληθὲς τοῦτο εἴρηκας, ἀλλ' εἶπόν
the and halcyon said true this you-have-spoken but I-told

σοι ὅτι, ἐάν τι συμβῇ ἡμῖν τῶν ἐναντίων παρ᾽ αὐτῆς,
you that if anything befall us of-the contrary-things from her
δείξω σοι τὴν ἀντιπάθειαν, καὶ ἄρτι ὄψῃ τοῦτο.»
I-will-show you the retaliation and now you-will-see this
Ἀπελθοῦσα οὖν πρὸς τοὺς συγγενεῖς αὐτῆς καὶ φίλους,
having-gone-away then to the kinsmen her and friends
ἐγνώρισεν αὐτοῖς, ἅπερ ἐπεπόνθει παρὰ τῆς Νηρηΐδος
she-made-known to-them what she-had-suffered from the Nereid
καὶ, «Ἀντιλάβεσθέ μου, ἔφη, κατ᾽ αὐτῆς, ὡς ὁμογενεῖς
and help me she-said against her as of-one-race
καὶ ὁμοιοπαθεῖς ὄντες, μή ποτε ταὐτὸν ἐμοὶ πάθοιτε καὶ
and like-suffering being lest ever the-same as-me you-suffer also
ὑμεῖς.» Οἱ δὲ εἶπον αὐτῇ· «Ἡμεῖς μὲν σύνεργοί σου καὶ
you they and said to-her we indeed fellow-workers your and
ἐπίκουροι ἐσμέν· ἀλλ᾽ οὖν τί δυνάμεθα βλάψαι αὐτήν;»
helpers are but then how are-we-able to-harm her
Ἡ δὲ ἀλκυὼν, «Ἀπέλθωμεν πάντες, καὶ δεηθῶμεν τῶν
the and halcyon let-us-go all and let-us-beg the
πετεινῶν, ὅπως συνεργήσωσιν ἡμῖν.» Ἀπελθόντες οὖν
birds so-that they-may-help us having-gone-away then
ἐκεῖνοι εἶπον πᾶσι τοῖς πετεινοῖς τὰ τοιαῦτα· τὰ δὲ
they told all the birds the-things such the and
πετεινὰ ἔφησαν· «Ἡμεῖς μὲν μετὰ προθυμίας, εἰ μόνον ὁ
birds said we indeed with eagerness if only the
Βασιλεὺς βουληθείη, βοηθήσωμεν ὑμῖν.» Τοῦ δὲ βασιλέως
King should-wish will-help you the and king
τῇ αὐτῶν εἴξαντος ἱκεσίᾳ, ὑπέσχοντο βοηθῆσαι αὐτῇ, καὶ
to-the their having-yielded supplication they-promised to-help her and
ποιῆσαι τὴν ἐκδίκησιν. Ἀκούσασα δὲ ταῦτα ἡ Νηρηΐς,
to-make the vengeance having-heard and these-things the Nereid
καὶ φοβηθεῖσα τὴν Βασιλέως ἀντιπαράταξιν, ἀπέδωκε
and having-feared the King's counter-array gave-back

τοὺς νεοσσοὺς τῇ ἀλκυόνι. Ταῦτα οὖν διεξῆλθόν σοι,
the young to-the halcyon these-things then I-went-through for-you
ἵνα γνῷς, ὅτι οὐ συμφέρει σοι ἡ ἀντιπαράταξις τοῦ
that you-may-know that not profits you the counter-array of-the
λέοντος, οὐδὲ συναινῶ σοι εἰς ταῦτα.» Καὶ ὁ ταῦρος,
lion nor I-agree with-you in these-things and the bull
«Οὐχ οὕτως ἀναιδῶς ἐπιχειρήσω τῇ ἀπωλείᾳ τοῦ λέοντος.»
not thus shamelessly I-will-attempt the destruction of-the lion
Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Σὺ δὲ ὅταν ἴδῃς ὀφθαλμοὺς
— and Ichnelates said you and when you-see eyes
ἠγριωμένους, καὶ ὑφαίμους, καὶ ὁρμὴν ἀκατάσχετον, συνεχῆ
made-savage and bloodshot and an-onset unrestrainable continuous
καὶ ταχεῖαν τοῦ οὐραίου κίνησιν, τότε πληροφορήθητι.»
and swift of-the tail motion then be-assured
Εἶτα εἰσῆλθεν ὁ ταῦρος πρὸς τὸν λέοντα. Ἰδὼν δὲ
then came-in the bull to the lion having-seen and
τοῦτον ἠλλοιωμένον, καὶ ἃ εἶπεν ὁ Ἰχνηλάτης σημεῖα
him changed and what said — Ichnelates signs
φέροντα, θυμοῦ πλησθεὶς ὁ ταῦρος ἔφη· «Κρεῖττόν
bearing with-anger filled the bull said better
ἐστιν ὄφει ἢ Βασιλεῖ συνοικεῖν ἀδίκῳ·» καὶ διανέστη
it-is with-a-snake than with-a-King to-live unjust and rose-up
πρὸς τὴν τοῦ λέοντος παράταξιν. Ἰδὼν δὲ ὁ λέων
for the of-the lion array having-seen and the lion
τὸ τοιοῦτον, συνεπλάκη καὶ αὐτὸς τῷ ταύρῳ, καὶ
the such grappled also he with-the bull and
τοῦτον ἀπέκτεινε. Παρὼν δὲ τηνικαῦτα ὁ Στεφανίτης τῷ
him killed being-present and at-that-time — Stephanites —
Ἰχνηλάτῃ ἔφη· «Οἶδας τὸν δόλον, ὃν συνέῤῥαψας κατὰ
to-Ichnelates said you-know the guile which you-stitched-together against
τοῦ ταύρου· σκόπησον οὖν καὶ τὴν ἀπόβασιν· τὸν γὰρ
the bull consider then also the outcome the for

λέοντα κατήσχυνας, τὸν ταῦρον ἀπώλεσας, τὴν ὁμόνοιαν
lion you-shamed the bull you-destroyed the concord
τῶν συστρατιωτῶν διεσκέδασας. Ἢ οὐκ οἶσθα, ὡς οἱ
of-the fellow-soldiers you-scattered or not do-you-know that the
δυνατώτατοι τῶν Βασιλέων πρωτοσύμβουλοι οὐκ ἐῶσι
most-powerful of-the Kings first-counselors not allow
τούτους πολέμων κατάρξασθαι, καίπερ δυνατώτεροι ὦσι
them wars to-begin although more-powerful they-be
ἐχθρῶν; ἡ γὰρ φρόνησις τὰς τῶν πολλῶν χεῖρας νικᾷ.
than-enemies the for prudence the of-the many hands conquers
Ἔγωγε οὖν ἀεὶ ὁρῶν σου τὴν οἴησιν, καὶ τὴν πλεονεκτικὴν
I-at-least then always seeing your the conceit and the grasping
γνώμην, ἐκώλυόν σε τοῦ τοιούτου κατατολμῆσαι ἔργου·
judgment hindered you from-the such to-dare deed
οὐδὲν γὰρ ἕτερον ἀπολλύει τοὺς ἐπ᾽ ἐξουσίας, ὡς τὸ
nothing for other destroys those in authority as the
ἀκούειν, καὶ δέχεσθαι λόγους παρὰ τοιούτων, οἷος
to-listen and to-receive words from such such-as
σύ. Καὶμοὶ μὲν γὰρ ἐστι λόγου σύνεσις, ῥητορείας,
you and-to-me indeed for is of-speech understanding of-oratory
δικαιοσύνης, μεταδόσεως, ἱλαρότητος, πλούτου, καὶ ἡ πρὸς
of-justice of-sharing of-cheerfulness of-wealth and the to
τοὺς δεομένους μετάδοσις, ὡς ζωὴ ὑγεία καὶ εὐφροσύνη.
the needy sharing as life health and gladness
Ἴσθι δὲ πρὸς τούτοις, ὡς διὰ τῆς γνώσεως νήφει μὲν
know and besides these that through the knowledge is-sober indeed
ὁ συνετὸς, μεθύσκεται δὲ ὁ ἀσύνετος· καθάπερ πάσχει τὰ
the intelligent is-drunk but the unintelligent as suffer the
τῶν νυκτερίδων ὄμματα πρὸς τὸ καθ᾽ ἡμέραν φῶς. Καὶ
of-the bats eyes toward the by day light and
Βασιλεὺς ὁ τοιούτους ἔχων περὶ αὐτὸν ὑπηκόους, ἔοικεν
a-King the-one such having about him subjects resembles

ὕδατι πάνυ καθαρῷ καὶ διαφανεῖ, κροκοδείλων δὲ πλήρει,
water very clean and transparent of-crocodiles but full
ᾧ τίς ἂν πλησιάσειε, κἂν δίψῃ καταφλέγοιτο; σὺ
which who — would-approach even-if with-thirst he-be-burned you
δὲ οὐδένα ἠθέλησας πλήν σου οἰκειωθῆναι τῷ λέοντι.
but no-one wished besides you to-become-intimate with-the lion
Ἀλλ' ἡ βασιλεία διὰ τῶν περὶ αὐτὴν συνίσταται, ὡς ἡ
but the kingship through those about it holds-together as the
θάλασσα διὰ τῶν κυμάτων· ἐν τούτοις γὰρ φοβερὰ τοῖς
sea through the waves in these for fearful to-those
πλέουσι καθίσταται. Ἀνόητον δὲ πάντῃ τὸ ἐπιπολαίως
sailing it-becomes senseless and wholly the superficially
φιλεῖν, καὶ τὸ τὰ εἰκότα τῇ φιλίᾳ μὴ τηρεῖν, καὶ
to-love and the the-things fitting to-the friendship not to-keep and
τὸ δι' ἑτέρων βλάβης οἰκείαν ἐπισπᾶσθαι ὠφέλειαν.
the through others' harm own to-draw-to-oneself benefit
Πρὸς τούτοις οἶδα τοιαῦτά σοι παραινοῦντα, ἀνηνύτοις
besides these I-know such-things you admonishing at-unachievable-things
με ἐπιχειρεῖν· φησὶ γάρ τις τῶν σοφῶν· «Μὴ ἔλεγχε
me to-attempt says for one of-the wise not reprove
μωρὸν, ἵνα μή σε μισήσῃ, ὥσπερ καὶ οἱ πίθηκοι μισοῦντες
a-fool that not you he-may-hate as also the apes hating
ἀπώλεσαν τὸν ἐλέγχοντα αὐτοὺς κόρακα. Λέγεται γὰρ,
destroyed the reproving them raven it-is-said for
ὡς τινὲς πίθηκοι ἔν τινι τῶν ὀρεινῶν δένδρων καὶ τόπων,
that some apes in one of-the mountain trees and places
καθ' ὥραν χειμερινὴν διατρίβοντες, καὶ σφοδρῷ τῷ κρύει
in season wintry spending-time and by-violent the cold
συσχεθέντες, εὑρόντες τινὰ λίθον στίλβοντα, ὑπέλαβον πῦρ
seized having-found some stone glittering supposed fire
εἶναι, καὶ κατεφύσων αὐτὸ ἱκανῶς. Κόραξ δὲ τούτους
to-be and blew-on it sufficiently a-raven and them

ἰδὼν τοῦτο ποιοῦντας, «Μὴ πλανᾶσθε, ὦ οὗτοι, ἔφη· οὐ
having-seen this doing not be-misled O you he-said not
γὰρ πῦρ τὸ προκείμενον, ἀλλὰ λίθος.» Ὡς δὲ τούτου
for fire the-thing lying-before but a-stone as but him
οὐκ ἤκουον, κατῆλθεν ἐπ᾽ αὐτούς· κατερχομένῳ δὲ αὐτῷ
not they-heeded he-went-down to them going-down and to-him
εἶπεν ἕτερος κόραξ· «Μὴ μάτην κοπία· μηδὲ ἐπιχείρει
said another raven not in-vain toil nor attempt
τὸν σκολιὸν εὐθύνειν, καὶ τὸν ἀσύνετον συνετίζειν· οὐδεὶς
the crooked to-straighten and the unintelligent to-make-intelligent no-one
γὰρ τὴν ἑαυτοῦ σπάθην ἐπὶ πέτρας δοκιμάζει ἀτόμου.» Ὁ
for the his-own sword on rock tests uncuttable the
δὲ κόραξ, ἀποστραφεὶς τὸν παραινοῦντα, προσήγγισε
and raven having-turned-away-from the admonishing-one drew-near
τοῖς πιθήκοις· οἱ δὲ συλλαβόντες αὐτὸν διεσπάραξαν.
to-the apes they and having-seized him tore-apart
Τοιοῦτον δὴ κἀμὲ τοιαῦτά σοι παραινοῦντα δοκεῖ εἶναι.
such indeed me-too such-things to-you admonishing seems to-be
Ἀλλὰ καὶ σύ, τῇ πονηρίᾳ καὶ τῇ φιλαυτίᾳ ἡττώμενος,
but also you by-the wickedness and by-the self-love overcome
καὶ οὐκ ἀκούων παραινέσεως, ταὐτὸν πείσῃ τῷ πονηρῷ
and not hearing admonition the-same will-suffer as-the wicked
ἀνδρὶ, τῷ κοινωνῷ τοῦ σχολαστικοῦ. Λέγεται γὰρ, ὡς
man the partner of-the scholar it-is-said for that
πονηρός τις ἀνὴρ συνάμα σχολαστικῷ τινι, κοινωνίαν πρὸς
wicked a man together-with scholar a partnership with
ἀλλήλους ποιησάμενοι, καὶ συμπεριπατοῦντες εὗρον χρυσίου
one-another having-made and walking-about-together found of-gold
τάλαντα χίλια· καί φησιν ὁ σχολαστικὸς τῷ δυστρόπῳ
talents thousand and says the scholar to-the perverse
ἐκείνῳ ἀνδρί· «Διάνειμε τὸ ἔρμαιον ἐπ᾽ ἴσης.» Κἀκεῖνος
that man divide the windfall on equal and-he

ἔφη· «Οὐχί· ἀλλὰ τανῦν ἀναλάβωμεν, εἰ δοκεῖ, ὅσα ἐξ
said no but now let-us-take-up if it-seems what-things of
αὐτοῦ χρῄζομεν· τὸ δὲ λοιπὸν ὑπὸ γῆν συγκαλύψωμεν· καὶ
it we-need the and rest under ground let-us-cover and
ὅταν δεηθῶμεν, ἐλευσόμεθα, καὶ κατὰ μικρὸν τὸ αὔταρκες
when we-need we-will-come and by little the sufficient
λαμβάνοντες τὸν θησαυρὸν ἐξαντλήσομεν· τούτῳ γὰρ τῷ
taking the treasure we-will-drain-out in-this for the
τρόπῳ ἡ κοινωνία πολὺν ἡμῖν διαρκέσει χρόνον, καὶ διὰ
way the partnership much for-us will-last time and through
τῆς κοινωνίας ἡ φιλία. Καὶ ἐπείσθη ὁ σχολαστικὸς τῇ
the partnership the friendship and was-persuaded the scholar by-the
παραινέσει αὐτοῦ, καὶ ὑπὸ δένδρον μέγα καὶ ὑψηρεφὲς τὸν
admonition his and under a-tree great and high-roofed the
χρυσὸν κρύψαντες ἀνεχώρησαν. Μετ᾽ οὐ πολὺ δὲ λάθρα ὁ
gold having-hidden they-withdrew after not much and secretly the
πονηρὸς ἐλθὼν ἐσφετερίσατο τὸν θησαυρόν. Καιροῦ δὲ
wicked-one having-come appropriated the treasure of-time and
οὐ πολλοῦ διαστάντος, ἔφη πρὸς αὐτὸν ὁ σχολαστικός·
not much having-intervened said to him the scholar
«Ἀπέλθωμεν, εἰ δοκεῖ, καὶ λάβωμεν τὸ ὑπὸ γῆν χρυσίον.»
let-us-go if it-seems and let-us-take the under ground gold
Πορευθέντες οὖν καὶ κατορύξαντες, ὡς οὐδὲν εὗρον, ἤρξατο
having-gone then and having-dug as nothing they-found began
ὁ τοῦτο κεκλοφὼς τίλλειν τὰς τρίχας, καὶ τύπτειν τὸ
the-one this having-stolen to-pluck the hairs and to-beat the
στῆθος, καὶ καταβοᾶν τοῦ σχολαστικοῦ, ὡς ὑποκεκλοφότος
breast and to-cry-out-against the scholar as having-stolen
τὸν θησαυρόν. Τοῦ δὲ, μυρίοις τοῦτο ὅρκοις ἐπιβεβαιοῦντος,
the treasure he but with-countless this oaths confirming
οὐκ ἐπείθετο· ἀλλὰ καὶ πρὸς τὸ κριτήριον εἵλκυσεν. Ὁ
not he-was-persuaded but even to the court dragged(-him) the

δὲ κριτὴς εἶπεν· «Ὁ ἐνάγων βαρύνεται ταῖς ἀποδείξεσι,
and judge said the plaintiff is-burdened with-the proofs
καὶ δεῖ σε τὸ τοιοῦτο ἡμῖν δεῖξαι.» Ὁ δὲ, «Τὸ δένδρον
and it-is-needful you the such to-us to-show he and the tree
ἡμῖν αὐτὸ μαρτυρήσει τὴν ἀλήθειαν, εἰ καὶ ἄφωνόν ἐστι.»
for-us itself will-bear-witness-to the truth if even voiceless it-is
Καὶ προσελθὼν τῷ ἰδίῳ πατρὶ, ἀνήγγειλεν αὐτῷ πάντα, καὶ
and having-approached the own father reported to-him all and
ἠξίου αὐτὸν ὑπεισελθόντα τὸ δένδρον, πρὸς τὸν μέλλοντα
asked him having-crept-into the tree to the-one about
ἐρωτᾶν ἀποκρίνασθαι, καὶ λέγειν, ὡς ὁ σχολαστικὸς
to-ask to-answer and to-say that the scholar
μόνος ἀνείληφε τὸ χρυσίον. Ὁ δὲ πατὴρ ἔφη· «Ἐγὼ μὲν,
alone has-taken-up the gold the and father said I indeed
ὦ τέκνον, τοῦτο ποιήσω· σὺ δὲ ὅρα, μὴ ταῖς ἰδίαις παγίσι
O child this will-do you but see lest by-the own snares
ληφθῇς, καὶ πάθῃς ὅπερ καὶ ὁ κύκνος πέπονθε. Λέγεται
you-be-caught and suffer what also the swan suffered it-is-said
γὰρ, ὡς κύκνος τις, ἔν τινι χώρᾳ πλησίον ὄφεως
for that swan a-certain in a place near a-snake
φωλεύων, ἐν τῷ γεννᾶν αὐτὸν, ὁ ὄφις τοὺς νεοσσοὺς
nesting in the to-bring-forth him the snake the young
αὐτοῦ κατήσθιεν. Ὁ δὲ κύκνος, διὰ τὴν τοῦ χωρίου
his devoured the and swan because-of the of-the place
ἐπιτηδειότητα, ἥκιστα μετοικῆσαι ἐβούλετο. Γνοὺς οὖν
suitability least to-move-house wished having-learned then
ὁ καρκῖνος τὴν αὐτοῦ βλάβην, ἔφη τῷ κύκνῳ· «Διατί
the crab the his harm said to-the swan for-what
ἀδημονεῖς;» Ὁ δ' ἀνήγγειλεν αὐτῷ, ἅπερ ἐπεπόνθει ὑπὸ
are-you-troubled he and reported to-him what he-had-suffered from
τοῦ ὄφεως. Ὁ δὲ καρκῖνος, δείξας αὐτῷ ὀπήν τινα
the snake the and crab having-shown him hole a

ἀντικρὺ τῆς τοῦ ὄφεως καταδύσεως, λέγει αὐτῷ· «Ἔγνως
opposite the of-the snake den says to-him do-you-know
τίνος ἡ ὀπὴ αὕτη;» Κἀκεῖνος, «Νύμφης, ἔφη.» Καὶ ὁ
whose the hole this and-he of-a-weasel he-said and the
καρκῖνος, «Ἡ νύμφη, φησὶ, μεγίστην ἔχθραν ἔχει κατὰ τοῦ
crab the weasel he-says greatest enmity has against the
ὄφεως· εἰ οὖν ἰχθύας λαβὼν θήσεις μέσον τῶν ὀπῶν, ἡ
snake if then fishes having-taken you-will-place between the holes she
μὲν ἐξελθοῦσα φαγεῖν τοὺς ἰχθύας, καταντήσει μέχρι τῆς
indeed having-come-out to-eat the fishes will-arrive as-far-as the
τοῦ ὄφεως τρώγλης, καὶ εἰσελθοῦσα καταπνίξει αὐτόν.»
of-the snake hole and having-gone-in will-strangle him
Ἐξελθοῦσα οὖν ἡ νύμφη τῇ ἑξῆς, κατέφαγε τοὺς ἰχθύας,
having-come-out then the weasel on-the next-day ate-up the fishes
καὶ τὸν ὄφιν ἀπέκτεινε· εὑροῦσα δὲ καὶ τὸν κύκνον ἅμα
and the snake killed having-found and also the swan together-with
τοῖς νεοσσοῖς, κατεθοινήσατο. Τοῦτόν σοι, ὦ τέκνον, εἴρηκα
the young feasted-on this to-you O child I-have-told
τὸν μῦθον, ἵνα γνῷς, ὡς ὁ ἐπιβουλεύων τινὶ
the fable that you-may-know that the-one plotting against-one
ἀφρόνως, ἁλίσκεται τῇ ἰδίᾳ πονηρίᾳ.» Ὁ δὲ υἱὸς αὐτοῦ
senselessly is-caught by-the own wickedness the and son his
ἔφη· «Μὴ φοβοῦ, πάτερ, τοῦ μύθου τούτου ἕνεκεν· ἀνδρίζου
said not fear father of-the fable this for-the-sake be-manly
δὲ μᾶλλον, ἵνα ταῦτα τὰ τάλαντα κερδήσω.» Πεισθεὶς
but rather that these the talents I-may-gain having-been-persuaded
δὲ τῷ υἱῷ, ἀπελθὼν ὑπεισέδυ τὸ δένδρον. Τοῦ δὲ κριτοῦ
and by-the son having-gone-away he-crept-into the tree the and judge
ἐκεῖσε παραγενομένου, καὶ τὸ δένδρον ἐπερωτήσαντος, φωνὴ
there having-arrived and the tree having-questioned a-voice
ἐνεδίδοτο, τὸν σχολαστικὸν τοῦτο κεκλοφέναι φάσκουσα.
was-given the scholar this to-have-stolen saying

Ἀκούσας δὲ τοῦτο ὁ κριτὴς, καὶ τὸν δόλον νοήσας,
having-heard and this the judge and the guile having-perceived
προσέταξε πυρὶ τὸ δένδρον ἀποτεφρωθῆναι, ὡς ἂν
ordered with-fire the tree to-be-reduced-to-ashes so-that —
μᾶλλον εἴποι τὸ ἀληθές. Τοῦ δὲ πυρὸς ἀναφθέντος ἤδη,
rather it-might-say the truth the and fire kindled already
καὶ ἐπ᾽ αὐτὸν τῆς φλογὸς ἀνελθούσης, ἀνεφώνησεν εὐθὺς
and on him the flame having-gone-up cried-out at-once
ὁ γηραιὸς, καὶ ἐκβληθεὶς τὸν δόλον καθωμολόγησε.
the old-man and having-been-thrown-out the guile confessed
Τιμωρηθεὶς οὖν παρὰ τοῦ κριτοῦ σὺν τῷ υἱῷ, ἅπαν τὸ
having-been-punished then by the judge with the son all the
χρυσίον ἀφῃρέθησαν, ὃ καὶ ἐδόθη μόνῳ τῷ σχολαστικῷ.
gold were-deprived which also was-given alone to-the scholar
Αὕτη γοῦν ἡ τοῦ πονηροῦ καὶ τοῦ μοχθηροῦ ἀπόβασις.
this at-any-rate the of-the wicked and of-the knavish outcome
»Ἐγὼ μὲν γὰρ ἀεί σου τὴν γλῶτταν ἐπτοούμην, ὡς τὸν
I indeed for always your the tongue dreaded as the
τοῦ ὄφεως ὀδόντα, ἐπεὶ καὶ ἄμφω ἰὸν ἀποστάζετον· καὶ,
of-the snake tooth since also both poison drip and
ὡς εἴρηκεν ὁ εἰπών· «Φευκτέον πονηροὺς ἄνδρας,
as has-said the-one having-spoken must-be-fled wicked men
κἂν συγγενεῖς, κἂν ἄγχιστοί εἰσι·» ταὐτὸν γὰρ πέπονθας
even-if kinsmen even-if nearest they-are the-same for you-have-suffered
καὶ αὐτὸς τῷ ἐμπόρῳ. Λέγεται γὰρ, ὡς ἔμπορός τις,
also yourself as-the merchant it-is-said for that merchant a-certain
μέλλων ἀποδημεῖν, παρακατετίθετό τινι λάμμας σιδήρου
about to-go-abroad deposited with-one plates of-iron
ἑκατόν· καὶ ὡς ἐπανέζευξε, παρεγένετο πρὸς τὸν τὴν
hundred and when he-returned he-came to the-one the
παρακαταθήκην λαβόντα, ἀπογνόντα ἤδη τὴν ἐπάνοδον
deposit having-received having-despaired already of-the return

αὐτοῦ, καὶ τὸν σίδηρον πωλήσαντα, καὶ εἶπεν αὐτῷ·
his and the iron having-sold and said to-him
«Ἀπόδος, ὃν παρεθέμην σοι, σίδηρον.» Ὁ δὲ ἔφη·
give-back which I-deposited with-you iron he and said
«Ἔν τινι γωνίᾳ τοῦτον τῆς οἰκίας βαλόντος μου, οἱ μῦες
in a corner it of-the house having-thrown I the mice
αὐτὸν κατέφαγον· μελέτω δέ σοι περὶ αὐτοῦ μηδέν,
it ate-up let-it-be-a-care and to-you about it nothing
ἐπειδὴ σῶος πρὸς ἡμᾶς ἐπανῆλθες· ἀλλ' ἐλθὲ σήμερον,
since safe to us you-have-returned but come today
συνεστιάθητι ἡμῖν μετὰ περιχαρείας, καὶ τελέσωμεν τὰ
feast-with us with gladness and let-us-perform the
εἰσιτήρια.» Ὁ δὲ κατένευσε, καὶ εἰσελθὼν ἐνέτυχε τῷ υἱῷ
homecoming-rites he and agreed and having-gone-in came-upon the son
αὐτοῦ, καὶ λαβὼν αὐτὸν, νήπιον ὄντα, ἀπήγαγεν ἐπὶ τὸν
his and having-taken him an-infant being led-away to the
ἴδιον οἶκον, καὶ κατέκρυψε, καὶ πάλιν ὑπέστρεψεν. Εὑρὼν
own house and hid(-him) and again returned having-found
δὲ τὸν πατέρα τοῦ παιδὸς ζητῶντα, καὶ ἐρωτῶντα περὶ
and the father of-the child seeking and asking about
αὐτοῦ, «Εἶδον ἐγώ, φησιν, ἱέρακα, τὸν σὸν υἱὸν εἰς ἀέρα
him I-saw I he-says a-hawk the your son into air
φέροντα.» Καὶ ὃς μέγα κράξας τοῖς ἐκεῖσε, ἔφη· «Ἴδετέ
carrying and he loudly having-cried to-those there said did-you-see
ποτε, ὦ ἄνδρες, ἱέρακα ἄνδρα εἰς ὕψος φέροντα;» Καὶ
ever O men a-hawk a-man to height carrying and
ὁ τοῦ σιδήρου κύριος ὑπολαβὼν ἔφη· «Ναί· ἔνθα μῦες
the of-the iron owner answering said yes where mice
σίδηρον τοσοῦτον ἐσθίουσιν, ἐκεῖσε καὶ ἱέρακες ἐλέφαντας
iron so-much eat there also hawks elephants

αἴρουσιν.» Ὁ δὲ αἰσχυνθεὶς ἐπὶ τούτῳ, ἀπέδωκε τὸν
lift he and having-been-ashamed at this gave-back the
ὅσον ἀφείλετο, σίδηρον, καὶ τὸν οἰκεῖον ἀπέβαλε παῖδα.
as-much-as he-took-away iron and the own lost child
»Οὕτως ἔτι καὶ σὺ καταισχυνθήσῃ ψευδεῖς λόγους οὕτω
thus still also you will-be-shamed false words thus
πλαττόμενος. Ἀλλ' ὁ κακὸς οὐδὲν ἄλλο, πλὴν κακός· καὶ
fashioning but the evil-one nothing other than evil and
γὰρ ὁ πικρὸς καρπὸς, κἂν πολλάκις ἐπιχρισθῇ μέλιτι,
for the bitter fruit even-if often it-be-smeared with-honey
οὐκ οἶδε μετατρέπειν τὴν οἰκείαν πικρότητα εἰς γλυκύτητα.
not knows to-change the own bitterness into sweetness
Ἀνθεκτέον, ὦ οὗτος, τῆς τῶν ἀγαθῶν ἀνδρῶν συναυλίας,
must-be-held-to O you the of-the good men living-together
καὶ φευκτέον τοὺς πονηρούς· ὥσπερ γὰρ μεταλαμβάνει
and must-be-fled the wicked as for partakes
ὁ πνέων ἀὴρ ἀπὸ τῆς δυσωδίας τῶν δυσωδῶν, καὶ
the blowing air from the stench of-the foul-smelling and
τῆς εὐωδίας τῶν εὐωδῶν, ἐφ' ᾧτινι ἂν τύχῃ τούτων
the fragrance of-the fragrant on whichever — it-chance of-these
πεπνευκὼς, οὕτω μεταδίδωσιν ἡ τῶν φαύλων καὶ τῶν
having-blown so imparts the of-the base and of-the
πονηρῶν ἀνδρῶν ὁμιλία τῷ προσομιλοῦντι. Οἶδα δὲ
wicked men converse to-the-one conversing I-know and
πρὸς τούτοις, ὡς καὶ πάνυ σοι φορτικὸς ταυτὶ παραινῶν
besides these that also very to-you burdensome these-things admonishing
καταφαίνομαι· ἀεὶ γὰρ φορτικοί εἰσι τοῖς ἀνοήτοις
I-appear always for burdensome are to-the senseless
ἀνδράσιν οἱ συνετοὶ, καὶ τοῖς ἀπαιδεύτοις οἱ πεπαιδευμένοι,
men the intelligent and to-the uneducated the educated
τοῖς δὲ φειδωλοῖς οἱ εὐμετάδοτοι, καὶ τοῖς προπετέσιν
to-the and stingy the generous and to-the rash

οἱ ἀνεξίκακοι, καὶ τοῖς στρεβλοῖς οἱ εὐθεῖς.» Τούτων δὲ
the forbearing and to-the crooked the straight these and
λεγομένων μεταξὺ, λέων ὁ Βασιλεὺς τὸν ταῦρον ἀνήρηκε,
being-said meanwhile lion the King the bull has-slain
καὶ εὐθὺς μετεμελήθη ἐπὶ τῇ αὐτοῦ ἀναιρέσει. Ὁ δὲ
and at-once repented at the his slaying — and
Ἰχνηλάτης προσελθὼν τῷ λέοντι, καὶ σύννουν αὐτὸν
Ichnelates having-approached the lion and pensive him
ἰδὼν, «Τί, μετάμελος ἐπὶ τὸν ταῦρον γέγονας, ἔφη; ἢ
having-seen what repentant over the bull have-you-become he-said or
οὐκ οἶσθα, ὡς εἰ δηχθῇ τις ὑπὸ ἐχίδνης, ἐπὶ τὸ σύμπαν
not do-you-know that if be-bitten anyone by a-viper to the whole
σῶμα ἀναδίδοται τὸ δῆγμα;» Καὶ ἀκούσας ὁ λέων
body is-spread the bite and having-heard the lion
ἐπίστευσε τοῖς λόγοις αὐτοῦ, καὶ παρηγορήθη. «Οὕτως
believed the words his and was-consoled thus
οὖν, ἔφη ὁ φιλόσοφος, καὶ ὁ κακὸς καὶ μοχθηρὸς ἀνὴρ,
then said the philosopher also the evil and knavish man
ὅτε μεταξὺ δύο τινῶν ἀλλήλοις ἀντιφιλούντων ἑαυτὸν
when between two some with-one-another loving himself
παρεισβάλλει, θορύβους ἐμποιεῖ, καὶ τοὺς φίλους διΐστησι.»
thrusts-in disturbances makes and the friends separates

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ

II · THE TRIAL OF ICHNELATES

The leopard overhears Stephanites reproaching Ichnelates and tells the lion's mother, who tells the lion. Ichnelates defends himself boldly and is bound; Stephanites visits him and, fearing he will be forced to confess, drinks poison. At the trial Ichnelates answers with fables, of the unlearned physician, the naked woman, and the falconer's magpies. While he is held seven days the mother presses the lion, and he is put to death: whoever stitches guile against another builds his own harm.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Ἀνάγγειλον οὖν μοι,
the and King to-the philosopher said report then to-me
πῶς ἔσχε τὰ κατὰ τὸν Ἰχνηλάτην ἐκεῖνον, μετὰ τὴν
how went the-things about — Ichnelates that after the
ταύρου ἀναίρεσιν;
bull's slaying
Ὁ δὲ φιλόσοφος ὑπολαβὼν ἔφη· «Μετὰ τὴν τοῦ ταύρου
the and philosopher answering said after the of-the bull
ἀναίρεσιν, μιᾷ τῶν νυκτῶν ἐξελθὼν ὁ λεοντόπαρδος,
slaying on-one of-the nights having-gone-out the leopard
ὃς ἦν διδάσκαλος τῷ λέοντι, καὶ πιστὸς σύμβουλος,
who was teacher to-the lion and faithful counselor
καὶ προσελθὼν τῇ τοῦ Ἰχνηλάτου πύλῃ, καὶ ἀκροώμενος
and having-approached the — of-Ichnelates gate and listening
ἤκουσε τοῦ Στεφανίτου, κατονειδίζοντος τοῦτον, ὑπὲρ ὧν
heard — of-Stephanites reproaching him for what
εἰς τὸν ταῦρον ἔδρασε, καὶ ὡς οὐ διεκφυγεῖ τὰς τοῦ λέοντος
to the bull he-did and that not he-will-escape the of-the lion
χεῖρας, μαθόντος τὸν συῤῥαφέντα κατ᾽ ἐκείνου δόλον.
hands having-learned the stitched-together against him guile
Ὅπερ ἀκούσας εἰσῆλθε πρὸς τὴν μητέρα τοῦ λέοντος, καὶ
which having-heard he-went-in to the mother of-the lion and

ἀνήγγειλεν αὐτῇ, ὅσα δὴ καὶ ἀκήκοε. Ἡμέρας δὲ ἤδη
reported to-her what indeed also he-had-heard day and already
γενομένης, ἀφίκετο αὖτη πρὸς τὸν λέοντα· καὶ ἰδοῦσα
having-come came she to the lion and having-seen
τοῦτον σκυθρωπὸν καὶ κατηφῆ καὶ μετάμελον ἐπὶ τῇ
him sullen and downcast and repentant at the
ἀπωλείᾳ τοῦ ταύρου, ἔφη· «Ὦ τέκνον, ὁ μετάμελος καὶ
destruction of-the bull said O child the regret and
ἡ φροντὶς οὐδὲν ἄλλο ἐργάζονται, ἀλλ᾽ ἢ τοῦ σώματος
the care nothing other work other than of-the body
τηκεδόνα καὶ τῆς ψυχῆς ζόφωσιν· ἀλλ᾽ Ἐξαύδα μὴ κεῦθε
wasting and of-the soul darkening but speak-out not hide
νόῳ, ἵνα εἴδωμεν ἄμφω. Ἀλλ᾽ οἶδα καὶ πρὸ τοῦ εἰπεῖν σε,
in-mind that we-may-know both but I-know even before the to-say you
ὡς διὰ τὸν ταῦρον ἀθυμεῖς, καὶ γὰρ ἀναιτίως αὐτὸν
that because-of the bull you-are-disheartened and for without-cause him
ἀνῄρηκας· καὶ εἰ δίκαιος ἦς, ἔδει σε πάντως τὴν
you-have-slain and if just you-were it-was-needful you by-all-means the
πρὸς αὐτόν σου διάθεσιν τῇ πρὸς σεαυτὸν ἐκείνου διακρίναι
toward him your disposition by-the toward yourself his to-judge
διαθέσει· λέγεται γὰρ, ὡς ἀνταμείβουσιν ἀλλήλας αἱ καρδίαι.
disposition it-is-said for that requite one-another the hearts
Εἰπὲ οὖν μοι, ὅπως διέκεισο πρὸς τὸν ταῦρον.» Ὁ δὲ
tell then me how you-were-disposed toward the bull the and
λέων εἶπεν· «Ἀεί μοι ὁ ταῦρος φίλος ἦν, καὶ ἐπίστευον
lion said always to-me the bull a-friend was and I-trusted
αὐτῷ ἐν πᾶσι, καὶ τὰς αὐτοῦ παραινέσεις ἐδεχόμην, καὶ
him in all and the his admonitions I-received and
οὐδεμία μοι κατ᾽ αὐτοῦ ὑπόληψις ὑπέδραμεν ἐναντία. Καὶ
no to-me against him suspicion crept-in contrary and
νῦν μεταμεμέλημαι ἐπὶ τῷ αὐτοῦ θανάτῳ, καὶ περίεργός
now I-repent at the his death and anxious

εἰμι, αἰσθόμενος, ὡσανεὶ ἀθῶον τοῦτον τῶν κατ᾽ αὐτοῦ
I-am having-perceived as-if innocent him of-the against him
ἐγκληθέντων κατέκτεινα· ἀλλ᾽ ἠπατήθην τοῖς τοῦ δολίου
charged-things I-killed but I-was-deceived by-the of-the crafty
Ἰχνηλάτου λόγοις καὶ ψευδέσι διαλογισμοῖς. Ἀνάγγειλον οὖν
Ichnelates words and false reasonings report then
μοι, εἴπερ τι τοιοῦτον ἀκήκοας· ἡ γὰρ ἀληθὴς ὑπόληψις
to-me if-indeed anything such you-have-heard the for true suspicion
διὰ τῶν ἔξωθεν ἐρχομένων βεβαιοῦται ἀγγελιῶν.»
through the from-outside coming is-confirmed reports
Ἡ δὲ τοῦ λέοντος μήτηρ φησίν· «᾽Επυθόμην παρά τινος
the and of-the lion mother says I-learned from one
τῶν πιστοτάτων, ὡς διὰ φθόνον ὁ Ἰχνηλάτης ἐπί σοι
of-the most-faithful that because-of envy — Ichnelates to you
τοῦ ταύρου κατεψεύσατο.» — «Καὶ τίς ἐστιν, ἔφη, ὁ
the bull lied-against and who is said the
λέων ὁ τοῦτό σοι ἀναγγείλας;» Ἡ δὲ μήτηρ αὐτοῦ
lion the-one this to-you having-reported the and mother his
φησι· «Τὰ τῶν φίλων μυστήρια δεῖ τηρεῖν· ἔνθα
says the of-the friends secrets it-is-needful to-keep where
δὲ σκοπός ἐστι τῆς ἀληθείας ἡ φανέρωσις, καὶ τοῦ
but the-aim is of-the truth the disclosure and of-the
ἡμαρτημένου ἐκδίκησις, ἥκιστα συγκατακαλύπτειν χρὴ τὸ
sin-committed vengeance least to-help-conceal is-needful the
ἁμάρτημα. Ὁ γὰρ δίκαιος Βασιλεὺς οὐχ ὑπολήψει τιμωρεῖ
sin the for just King not on-suspicion punishes
οὐδὲν, εἰ τύχοι ἀμφίβολος ἡ ὑπόθεσις· δέδοικα γὰρ,
anything if should-be doubtful the matter I-fear for
μήπως τὰ ὅμοια μεταμελήσῃς τῇ τοῦ ταύρου ἀναιρέσει,
lest the like you-repent as-the of-the bull slaying
καὶ ἐπὶ τοῦ Ἰχνηλάτου, ὑπολαμβάνουσά σε ἐνδοιάζειν
also over — of-Ichnelates supposing you to-doubt

τὰ περὶ ἐμοῦ.» Ὁ δὲ λέων εἶπεν· «Οὐκ ἐνδοιάζω, ἀλλὰ
the-things about me the and lion said not I-doubt but
βούλομαι τὴν ἀλήθειαν εἰς φῶς ἀγαγεῖν. Ἡ δὲ, «Δέδοικά,
I-wish the truth into light to-bring she and I-fear
φησι, μήπως τοῦτο ποιήσασα, ἀσυνείδητος, ὑποπτευθῶ.»
she-says lest this having-done unconscientious I-be-suspected
Ταῦτα ὁ λέων ἀκούσας παρὰ τῆς μητρὸς παρέστησεν
these-things the lion having-heard from the mother set-beside
αὐτῷ τοὺς ὑπ᾽ αὐτὸν ἅπαντας· μετεκαλέσατο δὲ καὶ τὸν
himself the under him all summoned and also —
Ἰχνηλάτην· ὃς κατηφῆ ἰδὼν τὸν λέοντα, «Τί ὅτι, φησὶ,
Ichnelates who downcast having-seen the lion why that he-says
πρὸς τοὺς παρεστῶτας, ὁρῶ τὸν λέοντα στυγνὸν καὶ
to those standing-by do-I-see the lion gloomy and
κατηφείας μεστόν;» Ὑπολαβοῦσα δὲ ἡ τοῦ λέοντος μήτηρ
of-dejection full answering and the of-the lion mother
ἔφη· «Οὐ δι᾽ ἕτερόν τι κατήφεια, ἀλλ᾽ ἢ τὸ μέχρι
said not because-of other anything the-dejection other than the until
νῦν σε ἐάσαι τοῖς ζῶσι συμμετρεῖσθαι, πείσαντα τοῦτον
now you to-allow with-the living to-be-numbered having-persuaded him
δόλῳ καὶ πανουργίᾳ τὸν ἄθλιον ταῦρον ἀνελεῖν.» Ὁ δὲ
with-guile and villainy the wretched bull to-kill — and
Ἰχνηλάτης εἶπεν· «Ὁρῶ, ὡς πᾶς ὁ βλέπων τὸ συμφέρον,
Ichnelates said I-see that every the-one seeing the expedient
ἕτοιμός ἐστι πρὸς ὑποδοχὴν τῶν συμφορῶν μᾶλλον, ἢ τῶν
ready is for reception of-the misfortunes rather than of-the
εὐποιϊῶν· ἐπὶ τοῦτο γὰρ οἶμαι καὶ τοὺς ἀσκοῦντας, χαίρειν
good-deeds for this for I-think also those practicing-asceticism farewell
εἰπόντας τοῦ τοῖς ἀνθρώποις συνδιαιτᾶσθαι (ἀσφαλέστερον
having-said to-the with-the men to-live-with safer
τὸ) τὰς ἐρήμους διώκειν. Ἐγὼ δὲ, εὔνους ὢν τῷ
the the deserts to-pursue I and well-disposed being to-the

Βασιλεῖ, ἀνέφερον αὐτῷ τὰ κατὰ τὸν ταῦρον, καὶ
King referred to-him the-things about the bull and
ἐξεφαύλισα τὴν ἐπιβουλὴν αὐτοῦ. Εἰ οὖν ἐτάσει τὰ
exposed the plot his if then he-will-examine the-things
παρ᾽ ἐμοῦ ἀναχθέντα, εὑρήσει πάντως ἀληθῆ ὄντα· τὸ γὰρ
by me brought-up he-will-find by-all-means true being the for
ἐνοικουροῦν τοῖς λίθοις πῦρ, μεθόδῳ τινὶ φανεροῦται, καὶ
dwelling-in the stones fire by-method some is-made-manifest and
τὰ ἐγκλήματα ἐπίσης, ἐξεταζόμενα, μᾶλλον ἀποκαλύπτεται,
the charges likewise being-examined rather are-uncovered
παραπλησίως τῇ δυσώδει ὕλῃ ταραττόμενα. Εἰ μὲν
like the foul-smelling matter being-stirred if indeed
οὖν συνεγίνωσκον ἐμαυτῷ ἁμάρτημά τι, οὐκ ἂν ἐνταῦθα
then I-were-conscious-in myself of-sin any not — here
προσαφικόμην, ἀλλ᾽ ἔν τινι τόπῳ τῆς εὐρείας χθονὸς τὰς
I-would-have-arrived but in some place of-the broad earth the
διατριβὰς ἐποιούμην. Ἀξιῶ οὖν τὴν Βασιλικὴν μεγαλειότητα
abodes I-would-make I-ask then the Royal majesty
ἐξετάσαι ἀκριβῶς τὰ κατ᾽ ἐμὲ διά τινος δικαιοτάτου
to-examine exactly the-things about me through some most-just
διαιτητοῦ, μὴ τὴν ἀλήθειαν παραχαράττοντος, μήτε μὴν
arbiter not the truth counterfeiting nor indeed
πρόσωπον λαμβάνοντος, μήτε πρὸς τοὺς φθονοῦντάς μοι
a-face accepting nor to those envying me
τὰ ὦτα κλίνοντος· ἐπεί μοι πολλοὶ πάρεισι τοιοῦτοι,
the ears inclining since to-me many are-present such
δι᾽ ἣν ἔχει πρός με ὁ Βασιλεὺς ἀγαθὴν διάθεσιν.
because-of which he-has toward me the King good disposition
Εἰ δὲ μὴ τοῦτο γένηται, πρὸς τίνα ἆρα καταφεύξομαι,
if but not this happen to whom then shall-I-flee
εἰ μὴ πρὸς τὸν τὰ πάντα βλέποντα τοῦ Θεοῦ ὀφθαλμόν;
if not to the the all-things seeing — of-God eye

Τὸν γὰρ θάνατον οὐ δέδοικα· οἶδα γὰρ τοῦτον ὡρισμένον,
the for death not I-fear I-know for it determined
καὶ ἀπαραίτητον παντὶ θνητῷ ζώῳ. Εἰ καὶ μυρίας ψυχὰς
and inexorable for-every mortal animal if even countless souls
εἶχον, οὐκ ἂν ἐφεισάμην τούτων πρὸς σὴν ἀρέσκειαν.»
I-had not — I-would-spare them for your pleasure
Ὑπολαβὼν δέ τις τῶν στρατιωτῶν ἔφη πρὸς αὐτόν· «Οὐ
answering and one of-the soldiers said to him not
φθέγγῃ τὰ τοιαῦτα διὰ φιλικὴν πρὸς τὸν κρατοῦντα
you-utter the such-things because-of friendly toward the ruler
διάθεσιν, οὔτε μὴν διὰ τὸ πρὸς αὐτὸν σέβας· ἀλλ' ἢ
disposition nor indeed because-of the toward him reverence other than
διὰ σεαυτὸν, ὑπεραπολογούμενος, δι' ὧν παρηνόμησας.»
because-of yourself defending-yourself for what you-transgressed
Καὶ ὁ Ἰχνηλάτης, «Ἄφρον, ἔφη, πῶς οὖν μεμπτέον
and — Ichnelates fool he-said how then blamable
ἐστὶ τὸ τοιοῦτον ἔργον; καὶ τί ἕτερον τῷ ζῶντι
is the such deed and what other to-the-one living
τῆς ἑαυτοῦ ψυχῆς τιμιώτερον; εἰ γὰρ μὴ ὑπὲρ αὐτοῦ
than-the his-own soul more-precious if for not for himself
ἀπολογήσεταί τις, σχολῇ γ' ἂν ἑτέρου ὑπερασπίζοιτο·
will-make-defense anyone hardly indeed — for-another he-would-shield
ὥστε ἐφανέρωσας τὸν ἐνδομυχοῦντά σοι φθόνον, καὶ
so-that you-made-manifest the lurking-within you envy and
ἀνεγνώρισας πᾶσιν, ὡς ἄφιλος εἶ καὶ ἀβέβαιος. Ἄφες
you-made-known to-all that friendless you-are and unreliable leave
οὖν τὸ προσανέχειν τῇ Βασιλικῇ αὐλῇ· ἀνάξιον γάρ ἐστιν
then the to-attend-on the Royal court unworthy for it-is
τοιοῦτον ὄντα σε Βασιλεῖ ὑπηρετεῖσθαι.» Τούτων ἀκούσας
such being you the-King to-serve these-things having-heard
ἐκεῖνος, ἐξῆλθε κατηφής. Πρὸς αὐτὸν αὖθις ἡ τοῦ λέοντος
he went-out downcast to him again the of-the lion

μήτηρ ἔφη· «Ἄγαμαί σου τὸ προπετὲς, ὦ Ἰχνηλάτα,
mother said I-wonder-at your the rashness O Ichnelates
καὶ ὅπως τοιοῦτον τολμήσας ἔργον, τοιούτοις ἡμῖν
and how such having-dared a-deed with-such to-us
καταναιδεύῃ τοῖς ῥήμασι.» Καὶ οὗτος ὑπολαβὼν, «Ἵνα
you-are-shameless the words and he answering for
τί με, φησὶ, δι' ἑνὸς ὁρᾷς ὄμματος; οὐκ οἶσθα,
what me he-says through one do-you-see eye not do-you-know
ὡς στρεπταὶ αἱ τῶν ἐσθλῶν φρένες κατὰ τὸν ποιητήν;
that flexible the of-the noble minds according-to the poet
Ἀλλ' ὁρῶ πάντας ἀγριωθῆναι καὶ οὐδένα τὴν ἀλήθειαν
but I-see all to-be-enraged and no-one the truth
ἀσπάζεσθαι, δι' ἀγαθότητος τοῦ Βασιλέως ὑπερβολὴν,
to-embrace through goodness of-the King excess
μήτε ἐκδειματοῦντος τινὰ, μήτε ἐπιπλήττοντος.» Κἀκείνη,
neither frightening anyone nor rebuking and-she
«Ὁρᾶτε, ἔφη, τὸν πονηρότατον καὶ ἀσεβέστατον τοῦτον·
see she-said the most-wicked and most-impious this
πῶς τοιαῦτα πράξας ἀνομήματα, καὶ μεγάλοις περιπεσὼν
how such having-done lawless-deeds and in-great having-fallen
ἐγκλήμασι, παραχαράττειν ἐπιχειρεῖς τὴν ἀλήθειαν, καὶ
charges to-counterfeit you-attempt the truth and
συλλογισμοῖς, μᾶλλον δὲ παραλογισμοῖς ψευδέσιν ἀπατᾷν
by-syllogisms rather but by-paralogisms false to-deceive
ἅπαντας;» Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Τοιοῦτός ἐστιν ὁ
all — and Ichnelates said such is the-one
τὰ μυστήρια ἐκφαυλίζων, καὶ ὁ γυναικείοις τρόποις ἀνὴρ
the secrets exposing and the with-womanly manners man
χρώμενος, ἢ ἀνδρείοις χρωμένη γυνὴ, καὶ ὁ ξένος ὁ
using or with-manly using woman and the stranger the-one
λέγων ἑαυτὸν κύριον τῆς οἰκίας, καὶ ὁ παρὰ Βασιλεῖ
calling himself master of-the house and the-one before the-King

ἀπολογούμενος, περὶ ὧν οὐκ ἐρωτᾶται.» Ἡ δὲ τοῦ
defending-himself about what not he-is-asked the and of-the
λέοντος μήτηρ αὖθις ἔφη· «Οὐκ οἶδας, ὦ Ἰχνηλάτα, οἷα
lion mother again said not do-you-know O Ichnelates what
εἰργάσω δεινά;» Καὶ ὁ Ἰχνηλάτης, «Ὁ δεινά, φησιν,
you-wrought terrible-things and — Ichnelates the-one terrible-things he-says
ἐργαζόμενος οὐκ εὐνοεῖ πρός τινα, οὐδ' ἀποτρέπει τὴν
working not is-well-disposed toward anyone nor turns-away the
μέλλουσαν κακίαν.» Τῆς δὲ, «Μὴ ὑπολάβῃς, ἀσεβέστατε,
coming evil she but not suppose most-impious
εἰπούσης, ὡς ἐκφεύξῃ τὴν ἐκ τῆς δίκης τιμωρίαν, διὰ
having-said that you-will-escape the from the justice punishment through
τῶν ψευδῶν σου τουτωνὶ παραλογισμῶν.» Καὶ αὖθις ὁ
the false your these paralogisms and again —
Ἰχνηλάτης· «Τοιοῦτοί εἰσιν οἱ τὰ ψεύδη διαπλαττόμενοι,
Ichnelates such are those the lies fashioning
καὶ τὸ δίκαιον ἐκκλίνοντες, καὶ μήτε λόγοις, μήτε ἔργοις
and the just turning-from and neither in-words nor in-deeds
στέργοντες.» Τὸν γοῦν λέοντα ἰδοῦσα μηδὲν πρὸς ταῦτα
being-content the at-any-rate lion having-seen nothing to these-things
ἀποκρινόμενον, ἔφη ἐν ἑαυτῇ· ἴσως κατεψεύσαντο τούτου
answering she-said in herself perhaps lied-against him
οἱ διαβάλλοντες· δοκεῖ γὰρ ἀληθῶς φθέγγεσθαι ὁ ἐπὶ
the slanderers he-seems for truly to-speak the-one in
μέσου τοῦ θεάτρου, Βασιλέως ἐνώπιον, παῤῥησιαζόμενος,
middle of-the theater King before speaking-freely
καὶ παρὰ μηδενὸς ἀνατρεπόμενος. Προσέταξεν οὖν ὁ λέων
and by no-one being-overturned ordered then the lion
τηνικαῦτα τὸν Ἰχνηλάτην καθειρχθῆναι καὶ δεσμευθῆναι,
at-that-time — Ichnelates to-be-shut-up and to-be-bound
ἄχρις ἂν ἐξετάσῃ τὰ κατ' αὐτόν.
until — he-should-examine the-things about him

Μετὰ δὲ τὸ φρουρηθῆναι τοῦτον καθωμολόγησε τῷ
after and the to-be-guarded him confessed to-the
λέοντι ἡ μήτηρ τὸν εἰπόντα, καὶ ὡς ὁ λεοντόπαρδος
lion the mother the-one having-spoken and that the leopard
ἦν. Καὶ ὁ λέων «Ἐᾶτε, φησὶ, τοῦτον· ὄψεσθε γὰρ, ἃ
it-was and the lion let-be he-says him you-will-see for what
πείσεται.» Νυκτὸς δὲ ὁ Στεφανίτης παραγενόμενος πρὸς
he-will-suffer by-night and — Stephanites having-come to
τὸν Ἰχνηλάτην, καὶ δέσμιον τοῦτον θεασάμενος ἔκλαυσε,
— Ichnelates and bound him having-beheld wept
καὶ ἔφη· «Ταῦτά εἰσιν, ἅπερ σοι προὔλεγον· σὺ δὲ
and said these-things are what to-you I-foretold you but
τῇ οἰήσει καὶ τῇ φιλαυτίᾳ νικώμενος οὐ προσεδέχου·
by-the conceit and by-the self-love conquered not you-accepted
ὅρα γοῦν τὴν τούτων ἀπόβασιν.» Ὁ δὲ Ἰχνηλάτης,
see at-any-rate the their outcome — and Ichnelates
«Ἀληθῶς εἶπας, ἔφη· οὐ γὰρ διέλειπες παραινῶν μοι
truly you-said he-said not for you-ceased admonishing me
τὰ συνοίσοντα· ἀλλ' ἐγὼ οὐχ ὑπήκουον, ἀπληστίαν
the-things profitable but I not heeded insatiability
νοσῶν ὁ ἄθλιος· πέπονθα γὰρ ταὐτὸν τοῖς νοσοῦσιν,
being-sick the wretched I-have-suffered for the-same as-the sick
οἵτινες εἰδότες, ὡς βλάπτονται ὑπό τινος τῶν ἐδεσμάτων,
who knowing that they-are-harmed by some of-the foods
οὐκ ἀπέχονται μέν τοι γε τούτου. Καὶ νῦν οὐ δι'
not abstain however — — from-it and now not because-of
ἐμαυτὸν ἀλύω, ἀλλὰ περὶ σοῦ· δέδοικα γὰρ, μήποτε,
myself I-am-distraught but about you I-fear for lest
διὰ τὴν μεταξὺ ἡμῶν φιλίαν, ληφθῇς καὶ σὺ, καὶ
because-of the between us friendship you-be-taken also you and
ἀναγκασθήσῃ ὁμολογῆσαι τὰ κατ' ἐμέ· καὶ θάνατόν
you-will-be-forced to-confess the-things about me and death

μου καταψηφίσονται ἄωρον, καὶ συναναιρεθῇς μοι τότε καὶ
my they-will-vote untimely and you-be-killed-with me then also
σύ.» Ὁ δὲ Στεφανίτης εἶπε· «Κἀγὼ τοῦτο διελογισάμην·
you — and Stephanites said I-too this reasoned
ἀλλὰ συναινῶ σοι, ἅπαν ὁμολογῆσαι ἁμάρτημα.» Καὶ ὁ
but I-advise you every to-confess sin and —
Ἰχνηλάτης, «Ἀνέξομαι ἕως ἴδω, ὅπῃ καταντήσει τὰ
Ichnelates I-will-bear-up until I-see where will-end the-things
κατ᾽ ἐμέ.» Τότε ὁ Στεφανίτης, περίλυπος ὁμοῦ καὶ
about me then — Stephanites very-grieved at-once and
περίδειλος, ἀπαλλαγεὶς καὶ δηλητήριον πεπωκὼς, ἐξέπνευσε.
very-fearful having-departed and poison having-drunk expired
Τῇ δὲ ἐπαύριον ὁ λέων προσεκαλέσατο τὸν κριτὴν,
on-the and morrow the lion summoned the judge
καὶ τὸν λεοντόπαρδον, καὶ τὸν Ἰχνηλάτην, ὥστε ἐπὶ
and the leopard and — Ichnelates so-that in
μέσου κριθῆναι· καὶ συνελθόντων ἁπάντων, εἶπεν ὁ
middle to-be-judged and having-come-together all said the
Λεοντόπαρδος· «Ὁ Βασιλεὺς, ὦ συστρατιῶται, οὐ διαλείπει
Leopard the King O fellow-soldiers not ceases
φροντίζων περὶ τῆς τοῦ ταύρου ἀναιρέσεως· λοιπὸν οὖν,
taking-thought about the of-the bull slaying now then
εἴτις ἐξ ἡμῶν συνοιδέ τι περὶ αὐτοῦ, ἀναφερέτω
if-anyone of us is-conscious-of anything about him let-him-refer
αὐτό· οὐ γὰρ βούλεται ἀνεξέταστον τὴν κρίσιν ἐπενεγκεῖν.»
it not for he-wishes unexamined the judgment to-bring
Ὁ δὲ κριτὴς ἔφη· «Καλῶς ἔφη οὗτος, καὶ εἴτις ἔγνω
the and judge said well said this-one and if-anyone knew
τι περὶ ταύτης τῆς ὑποθέσεως, ἀναγγειλάτω· πονηροῦ
anything about this the case let-him-report of-a-wicked
γὰρ ἀνδρὸς ἀναιρεθέντος, συστολὴ τῶν κακῶν γίνεται, καὶ
for man killed a-shrinking of-the evils comes and

πρὸς συμφέρον ὁρᾷ τὸ τοιοῦτον τῆς πολιτείας.» Οἱ δὲ
to advantage looks the such of-the state they and
ἀκούσαντες ἐσιώπησαν. Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ἵνα τί
having-heard were-silent — and Ichnelates said for what
σιωπᾶτε, ὦ οὗτοι; Εἴτις ἐξ ὑμῶν οἶδέ τι περὶ ἐμοῦ,
are-you-silent O you if-anyone of you knows anything about me
λαλησάτω, κἀγὼ ἀπολογήσομαι· ὁ γὰρ τὰ ψεύδη λέγων
let-him-speak and-I will-make-defense the for the lies saying
ταῦτα, πείσεται κατὰ πάντα τὸ τοῦ ἀμαθοῦς ἰατροῦ.
these will-suffer in all-things the of-the unlearned physician
Λέγεται γὰρ, ὡς ἰατρός τις τοιοῦτος ἐπεδήμησε πόλει
it-is-said for that physician a-certain such came-to-stay in-city
τινί· ἔτυχε δὲ τὴν θυγατέρα τοῦ τῆς πόλεως ἐξουσιαστοῦ
a-certain it-happened and the daughter of-the of-the city ruler
νόσῳ περιπεσεῖν, καὶ διωρίσατο σοφός τις ἕτερος
into-disease to-fall and prescribed wise a-certain other
ἰατρὸς τυφλὸς, χρήσασθαι ταύτην ἀδιάντῳ. Προσεκλήθη
physician blind to-use for-her maidenhair was-summoned
οὖν ὁ ξένος ἰατρὸς, ὥστε διακρίναι τὸ ἀδίαντον ἐκ τῆς
then the stranger physician so-that to-pick-out the maidenhair from the
φαρμακοφόρου κίστης, καὶ τοῦτο ἀγνοῶν, ἀντ᾽ αὐτοῦ
drug-bearing chest and this not-knowing in-place-of it
ἐντεριώνην προσελάβετο, καὶ δέδωκε πιεῖν τῇ γυναικί·
pith took and gave to-drink to-the woman
πιοῦσα δὲ ἐκείνη καὶ δυσεντερίᾳ περιπεσοῦσα ἐτελεύτησεν.
having-drunk and she and into-dysentery having-fallen died
Ἐβιάσθη οὖν ὁ ἀμαθὴς ἰατρὸς παρὰ τοῦ πατρὸς τῆς κόρης
was-compelled then the unlearned physician by the father of-the girl
ἐκ ταύτης πιεῖν· καὶ πιὼν περὶ τὸ ζῆν ἐκινδύνευσεν.
of it to-drink and having-drunk about the to-live was-in-danger
Οὕτως οὖν ὁ ποιῶν καὶ λέγων, ἃ οὐκ οἶδε, πείσεται.
thus then the-one doing and saying what not he-knows will-suffer

Ἀναστὰς δὲ ὁ πρωτομάγειρος ἔφη· «Ἀκούσατέ μου,
having-stood-up and the chief-cook said hear me
ὦ συστρατιῶται· φυσιογνώμων γάρ εἰμι. Πρόδηλός
O fellow-soldiers a-physiognomist for I-am manifest
μοι καταφαίνεται ὁ Ἰχνηλάτης δόλιός τε εἶναι, καὶ
to-me appears — Ichnelates crafty both to-be and
μοχθηρότατος. Λέγεται γὰρ, ὡς ὁ ἔχων τὸν ἀριστερὸν
most-knavish it-is-said for that the-one having the left
ὀφθαλμὸν τοῦ δεξιοῦ βραχύτερον, καὶ εὐκινητότατον, καὶ
eye than-the right shorter and most-mobile and
τοὺς ὀφθαλμοὺς ἀλλήλων ὅσον διεστηκότας, καὶ ἐν τῷ
the eyes from-one-another as-much-as standing-apart and in the
βαδίζειν τὴν κεφαλὴν κλίνων, συκοφάντης ὁ τοιοῦτός ἐστι,
to-walk the head bending a-slanderer the such is
καὶ πονηρότατος· τοιοῦτον ὁρῶμεν τὸν ἄθλιον Ἰχνηλάτην.»
and most-wicked such we-see the wretched Ichnelates
Καὶ ὁ Ἰχνηλάτης, «Πάντες, φησὶν, ἐσμὲν ὑπὸ τὸν οὐρανὸν,
and — Ichnelates all he-says we-are under the heaven
καὶ οὐδεὶς ἡμῶν ὑπερβαίνει τοῦτον· καὶ οὗτος ὁ ταῦτα
and no-one of-us goes-beyond it and this-one the-one these-things
λέγων δοκεῖ σώφρων εἶναι; Εἰ οὖν, ὡς ἔφη, αἱ ψυχικαὶ
saying seems temperate to-be if then as he-said the of-the-soul
δυνάμεις ἕπονται ταῖς τοῦ σώματος κράσεσι, τί δεῖ
powers follow the of-the body temperaments why is-it-needful
κολάζειν τοὺς βίᾳ παρανομοῦντας, ἢ βραβεῖα χορηγεῖν
to-punish those by-force transgressing or prizes to-supply
τοῖς ὀρθῶς πολιτευομένοις; Ἔοικάς μοι, ὦ ἄφρων, τὴν
to-those rightly living-as-citizens you-seem to-me O fool the
μὲν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐχ ὁρᾷν, τὸ δὲ κάρφος τὸ
indeed in the eye your beam not to-see the but mote the
ἐν τῷ ὀφθαλμῷ τοῦ πλησίον διακρίνειν, ταὐτὸ πεπονθὼς
in the eye of-the neighbor to-discern the-same having-suffered

τῇ ἄφρονι ἐκείνῃ γυναικί. Λέγεται γὰρ, ὡς δύο γυναῖκες
as-the senseless that woman it-is-said for that two women
μετ᾽ ἀνδρὸς, ἔκ τινος διαδράντες αἰχμαλωσίας γυμναὶ,
with a-man from some having-escaped captivity naked
συνηυλίζοντο τῇ χώρᾳ. Θατέρα δὲ αὐταῖν ῥάκει τινὶ
lodged in-the country one and of-them with-rag a-certain
περιτυχοῦσα, τούτῳ τὴν ἰδίαν περιεκάλυψεν αἰσχύνην.
having-chanced-on with-it the own covered shame
Ἐπιστραφεῖσα δὲ πρὸς τὴν ἑτέραν ἔφη· «Οὐκ αἰσχύνῃ
having-turned and to the other said not are-you-ashamed
γυμνὴ βαδίζουσα;» Πρὸς ἣν ὁ ἀνήρ· «Κατέλειπες,
naked walking to whom the man you-left
ὦ ἀσύνετε, τὴν ἰδίαν ὁρᾷν γυμνησίαν, καὶ ὀνειδίζεις
O unintelligent-one the own to-see nakedness and you-reproach
ταύτην ἐπὶ τούτῳ;» Οὕτως οὖν καὶ σὺ, ὦ πρωτομάγειρε,
her for this thus then also you O chief-cook
καθέστηκας, τὴν δίκην τοῦ κατ᾽ ἐμὲ συμβάματος
have-stood the trial of-the about me happening
μεταχειριζόμενος.» Ταῦτα ὁ πρωτομάγειρος ἀκούσας
handling these-things the chief-cook having-heard
μετεμελήθη, ἐφ᾽ οἷς εἶπε. Μαθὼν δὲ παρά τινος τὰ
repented for what he-said having-learned and from one the-things
λεχθέντα ὁ λέων, ἀπέπεμψε τοῦτον, καὶ ἐσημειώθη ἐν
said the lion sent-away him and was-noted in
γραφῇ τὰ τῆς δίκης, καὶ αὖθις καθείρχθη ὁ Ἰχνηλάτης.
writing the-things of-the trial and again was-shut-up — Ichnelates
Ἕτερος δέ τις φίλος τοῦ Ἰχνηλάτου παρεγένετο πρὸς
another and a friend — of-Ichnelates came to
αὐτὸν, καὶ ἀνήγγειλεν αὐτῷ τὸν τοῦ Στεφανίτου θάνατον·
him and reported to-him the — of-Stephanites death
ἐφ᾽ ᾧ λυπηθεὶς, καὶ πικρῶς κλαύσας, «Τί μοι
at which having-been-grieved and bitterly having-wept why for-me

δεῖ, ἔφη, ζῆν ἔτι βούλεσθαι, στερηθέντα φίλου
is-it-needful he-said to-live still to-wish deprived of-a-friend
τοιούτου, φιλτάτου καὶ εὐγνώμονος; Καλῶς οὖν ἔφησεν
such dearest and right-minded well then said
ὁ εἰπών· ὡς ἐν καιρῷ πειρασμοῦ συῤῥέει πανταχόθεν
the-one having-spoken that in season of-trial flow-together from-all-sides
τὰ δεινά.» Εἶτα καὶ αὖθις παρέστη τῷ δικαστηρίῳ, καὶ
the terrible-things then also again he-stood-by the court and
ἰδὼν τοῦτον ὁ στρατηγὸς ἔφη· «Ἔγνων, ὦ Ἰχνηλάτα,
having-seen him the general said I-learned O Ichnelates
τὰ ἔργα σου, καὶ οὐ καταλέλειπταί σοι ἔτι πρόφασις,
the deeds your and not is-left to-you any-longer a-pretext
ἢ ἀπολογία· καὶ εἰ μὴ ἡ τοῦ Βασιλέως ἐπιείκεια μεγίστη
or defense and if not the of-the King clemency greatest
ἦν, καὶ ἄπειρος, οὐκ ἄν σε μέχρι τοῦδε ζῆν εἴασεν.»
were and boundless not — you until this to-live he-would-have-allowed
Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Εἰ γὰρ πολλὴ καὶ ἄπειρος ἡ
— and Ichnelates said if for much and boundless the
ἐκείνου ἐπιείκεια, νικᾷ δ' ὅμως ἡ ἀνεξίτητός σου ἀπήνεια
his clemency conquers but yet the untraceable your harshness
καὶ σκληροκαρδία· ὁρῶ γάρ σε, ὦ ἀνδράποδον, τῷ σῷ
and hardness-of-heart I-see for you O slave by-the your
θελήματι πρὸ τῆς καταδίκης μου θάνατον καταψηφιζόμενον.
will before the condemnation my death voting
Καὶ οὐ μέμφομαί σε τοῦ τρόπου· ἀεὶ γὰρ οἱ φαῦλοι
and not I-blame you for-the manner always for the base
τοῖς σπουδαίοις ἀντίκεινται.» Ὁ δὲ κριτὴς ὑπολαβὼν, ἔφη·
the earnest oppose the and judge answering said
«Δεῖ τοὺς ἄρχοντας παῤῥησιάζεσθαι τὴν ἀλήθειαν, καὶ
it-is-needful the rulers to-speak-freely the truth and
ἐλέγχειν, καὶ ἐπιτιμᾷν τοὺς ἀπαιδεύτους· ἀλλὰ συναινῶ σοι,
to-reprove and to-rebuke the uneducated but I-advise you

ὦ Ἰχνηλάτα, προαιρεῖσθαί σε ἐνταῦθα μᾶλλον κολασθῆναι
O Ichnelates to-choose you here rather to-be-punished
ἢ μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν δίκας ὑφέξειν.»
than after the from-here departing-life penalties to-undergo
Ὁ δὲ Ἰχνηλάτης, «Καλῶς εἶπας, φησί· δεῖ γὰρ ἅπαντα
— and Ichnelates well you-spoke he-says it-is-needful for every
νουνεχῆ προσκαίρων προκρίνειν τὰ αἰώνια· ἀλλὰ ἀθῷός
sensible-one than-the-temporary to-prefer the eternal but innocent
εἰμι τοῦδε τοῦ ἐγκλήματος, καὶ οὐ δεῖ με θανάτου κατ᾽
I-am of-this the charge and not it-is-needful me death against
ἐμαυτοῦ ψεύσεσθαι. Εἰ γὰρ ὁ ἑτέρου καταψευδόμενος
myself to-lie if for the-one another lying-against
θάνατον ἀσύνετος, πόσῳ μᾶλλον ὁ καθ᾽ ἑαυτοῦ τοῦτο
death unintelligent how-much more the-one against himself this
δρῶν; ὁρᾶτε γοῦν, μήπως μεταμεληθήσεσθε, ὁπότε οὐ
doing see at-any-rate lest you-will-repent when not
λυσιτελήσει ὑμῖν ὁ μετάμελος· καὶ προσέχετε, μὴ ταὐτὸν
will-profit you the regret and take-heed lest the-same
πάθοιτε τῷ ἀμαθῶς λέγοντι, καὶ, ἃ μὴ οἶδε,
you-suffer as-the-one ignorantly speaking and what not he-knows
μαρτυροῦντι. Λέγεται γὰρ, ὡς ἱερακάριός τις ἠράσθη
bearing-witness it-is-said for that falconer a-certain fell-in-love-with
τῆς γυναικὸς τοῦ κυρίου αὐτοῦ· ἡ δὲ ἀπεστρέφετο
the wife of-the master his she and turned-from
αὐτόν. Ὀργισθεὶς οὖν ἐπὶ τούτῳ, ἐθήρευσε κίσσας
him having-been-angered then at this he-caught magpies
δύο, καὶ ἐδίδαξε τὴν μὲν λέγειν Περσικῇ διαλέκτῳ·
two and taught the-one indeed to-say in-the-Persian tongue
«Εἶδον τὴν κυρίαν μου μοιχευομένην τῷ πυλωρῷ·» τὴν
I-saw the mistress my committing-adultery with-the porter the
δὲ ἑτέραν λέγειν· «Ἐγὼ οὐδὲν λέγω.» Ἔτυχε γοῦν
and other to-say I nothing say it-happened at-any-rate

ποτε τὸν κύριον αὐτοῦ Πέρσαις συνδιαιτᾶσθαι· οἱ δὲ
once the master his with-Persians to-dine they and
ἀκούσαντες τῶν κισσῶν, ἠδέσθησαν· εἶτα καὶ αὐτὰ,
having-heard the magpies were-ashamed then also the-same-things
ἅπερ αἱ κίσσαι, ἀνήγγειλαν. Ὁ δὲ ἱερακάριος ἔξωθεν
which the magpies reported the and falconer outside
ἑστὼς ἔφη· «Κἀγὼ συμμαρτυρῶ, ὡς τὸ τοιοῦτον εἶδον
standing said I-too bear-witness-with that the such I-saw
οὐχ ἅπαξ, ἀλλὰ πολλάκις.» Ὁ δὲ κύριος αὐτοῦ, θυμοῦ
not once but often the and master his with-anger
πλησθεὶς, ἔμελλε τὴν ἰδίαν ἀποκτεῖναι γυναῖκα. Ἡ δὲ
filled was-about the own to-kill wife she and
τὰ τοῦ ἱερακαρίου τῷ ἰδίῳ ἀνδρὶ ἀνήγγειλε, καὶ
the-things of-the falconer to-the own husband reported and
ὡς δόλον ὁ τοιοῦτος κατ᾽ αὐτῆς συνέῤῥαψε, διὰ τὸ
that guile the such against her stitched-together because-of the
μὴ πεισθῆναι αὐτῷ, καὶ ποιῆσαι τὴν αἰσχρουργίαν· καὶ
not to-have-yielded to-him and to-do the shameful-deed and
τούτου σημεῖον, ἔφασκεν ἡ γυνὴ, τὸ μὴ εἰδέναι τὰς
of-this a-sign said the woman the not to-know the
κίσσας ἄλλην περσικὴν λέξιν, πλὴν ἣν ἐδιδάχθησαν. Καὶ
magpies other Persian word except which they-were-taught and
ἐρωτήσαντες οἱ Πέρσαι περί τινων ἑτέρων τὰς κίσσας,
having-asked the Persians about some other-things the magpies
εὗρον αὐτὰς μηδὲν ἕτερον εἰδέναι, εἰ μὴ ὃ ἔμαθον
found them nothing other to-know except — what they-learned
αἴσχιστον ἀπόφθεγμα. Ἐλθοῦσα δὲ ἡ γυνὴ πρὸς τὸν
most-shameful saying having-come and the woman to the
ἱερακάριον, ἔφη· «Οὐ φοβῇ σὺ τὸν Θεὸν, τοιαῦτά μου
falconer said not fear you — God such-things against-me
καταμαρτυρῶν; οὕτως ἔχει τὸ πρᾶγμα;» Ὁ δὲ ἔφη·
bearing-witness so is the matter he and said

«Ναί·» Καὶ τοῦτο αὐτοῦ λέγοντος ἐκείνῃ, ἄφνω ἱέραξ
yes and this him saying to-her suddenly a-hawk
ἐπεισπηδήσας, τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξώρυξεν. Οὕτως ἄρα
having-leaped-on the eyes his dug-out thus then
καὶ ὑμεῖς πείσεσθε, εἰ ψευδῶς μου καταμαρτυρήσεσθε.»
also you will-suffer if falsely against-me you-will-bear-witness
Μηδενὸς οὖν τὸν Ἰχνηλάτην καταδικάσαι ἰσχύσαντος
no-one then — Ichnelates to-condemn having-been-able
ἐξ ἐκείνων, αὖθις ἐφρουρήθη ἐπὶ ἡμέρας ἑπτά. Ἡ δὲ
of those again was-guarded for days seven the and
μήτηρ τοῦ λέοντος ἐν τῷ μεταξὺ πρὸς τὸν λέοντα ἔφη·
mother of-the lion in the meanwhile to the lion said
«Εἰ τὸν ἀσεβέστατον τοῦτον τοῦ ἐγκλήματος ἀφήσῃς,
if the most-impious this from-the charge you-let-off
ἴσθι, ὡς ἕκαστος τῶν ὑπό σε (ὅπερ κἀκεῖνος βούλεται)
know that each of-those under you (which that-one-too wishes)
ἀνυποστόλως διαπράξεται τὰ ὅμοια, πληροφορούμενος τῷ
unrestrainedly will-accomplish the like assured by-the
μὴ ἀποτίσαι εὐθύνας, ὧν ἔπραξεν.» Ἰδὼν οὖν ὁ λέων
not to-have-paid accounts for-what he-did having-seen then the lion
τὴν ἔνστασιν τῆς ἰδίας μητρὸς, προσέταξεν ἀναιρεθῆναι
the insistence of-the own mother ordered to-be-killed
τὸν Ἰχνηλάτην. Εἶτα ὁ φιλόσοφος εἶπε· «Σκοπητέον, καὶ
— Ichnelates then the philosopher said must-be-considered and
ἰστέον τὰ τοιαῦτα· πᾶς γὰρ ὁ καθ' ἕτερον δόλον
must-be-known the such-things every for the-one against another guile
συῤῥάπτων, ἑαυτῷ λέληθε τὸ κακὸν ἀρχιτεκτονῶν.»
stitching for-himself escapes-notice the evil building

ΤΜΗΜΑ ΤΡΙΤΟΝ

III · THE RAVEN, THE MOUSE, THE GAZELLE, AND THE TORTOISE

A raven watches doves lift a hunter's net together and fly to a mouse, who gnaws them free. The raven wins the mouse's friendship and carries him to a tortoise; the mouse tells how a stranger took his hoard of gold and with it his strength. A gazelle joins them. When the gazelle is snared and the tortoise taken, the mouse frees the gazelle and, while she feigns death to draw off the hunter, gnaws the tortoise's bonds.

Ὁ δὲ Βασιλεὺς ἔφη· «Ἔγνων τὰ τοιαῦτα ὑποδείγματα·
the and King said I-learned the such examples
λοιπὸν ἀνάγγειλόν μοι ὑπόδειγμα τινῶν ἀντιφιλούντων
now report to-me an-example of-some loving-in-return
ἀλλήλους, καὶ τῇ φιλίᾳ ἀεὶ συστοιχούντων.»
one-another and in-the friendship always keeping-in-line
Ὁ δὲ φιλόσοφος εἶπε· «Τοῦ ὄντος φίλου πιστοῦ ἀντάλλαγμα
the and philosopher said of-the real friend faithful exchange
τῶν ὄντων οὐδέν· καὶ δεῖγμα τούτου σαφέστατον τὸ
of-the things-that-are nothing and a-proof of-this clearest the
τοῦ κόρακος, μυὸς, δορκάδος τε, καὶ χελώνης. Λέγεται
of-the raven mouse gazelle both and tortoise it-is-said
γὰρ, ὡς ἔν τινι χώρῳ τόπος ἦν πρὸς θήραν ἐπιτήδειος,
for that in a region a-place was for hunting suitable
εἰς ὃν συχνοὶ παρεγένοντο θηρευταί· ἦν δὲ ἐκεῖσε καὶ
into which frequent came hunters was and there also
δένδρον μέγα, ὑψηρεφές τε, καὶ εὐσκιόφυλλον· καὶ τούτῳ
a-tree great high-roofed both and well-shaded-with-leaves and in-it
ἐνεφώλευσε κόραξ, ὃς ἰδὼν ἐκ τοῦ δένδρου τὸν θηρευτὴν,
nested a-raven who having-seen from the tree the hunter
τῷ μὲν δακτύλῳ δίκτυον, τῇ δὲ χειρὶ ῥάβδον
with-the indeed finger a-net with-the and hand a-staff

κατέχοντα, ἐδειλίασε μὲν ἐμμεῖναι· μέντοι γε ἔκρινε καὶ
holding feared indeed to-remain however yet he-decided also
θεάσασθαι τὸν θηρευτὴν, τί μέλλει διαπράξασθαι. Τοῦ δὲ
to-watch the hunter what he-is-about to-accomplish the and
θηρευτοῦ τὸ δίκτυον ἐξαπλώσαντος, περιστερά τις τῶν
hunter the net having-spread-out dove a-certain than-the
ἄλλων προκρίτους θεασαμένη τοὺς κόκκους, ἐμπέπτωκεν
others choice having-beheld the grains fell-into
αὐτῷ μετὰ τῶν ὑπ᾽ αὐτὴν λοιπῶν περιστερῶν. Ἥσθη
it with the under her rest doves was-pleased
οὖν ὁ θηρευτὴς τῇ θήρᾳ· αἱ δὲ περιστεραὶ ἤρξαντο
then the hunter at-the catch the and doves began
συνταράττεσθαι, καὶ ἑκάστη τὴν ἰδίαν πραγματεύεσθαι
to-be-thrown-into-confusion and each the own to-work-at
σωτηρίαν. Ἡ δὲ τούτων ὁδηγὸς, «Μὴ θορυβεῖσθε, ὦ
safety the and their leader not be-troubled O
αὗται, ἔφη· ἀλλ᾽ ὁμοῦ ἀλλήλαις συνασπισώμεθα, εἴποτε
you she-said but together with-one-another let-us-close-shields if-ever
δυνηθείημεν ἆραι τὸ δίκτυον.» Ἦραν οὖν εἰς τὸν ἀέρα
we-might-be-able to-lift the net they-lifted then into the air
τὸ δίκτυον· ὅπερ ἰδὼν ὁ θηρευτὴς ἐθαύμασε μὲν, οὐκ
the net which having-seen the hunter wondered indeed not
ἀπέγνω δέ· ἠκολούθησε δὲ μᾶλλον αὐταῖς πετομέναις,
despaired but followed and rather them flying
προσδοκίᾳ, τοῦ μὴ ἐπὶ πολὺ προήκειν αὐτάς.
in-expectation of-the not to far to-go-forward them
Ὁ οὖν κόραξ τοιαῦτα ἰδὼν, δεῖν ἔγνω ἕψεσθαι
the then raven such-things having-seen to-be-needful judged to-follow
ταύταις, καὶ ὄψεσθαι, ὅπη καταντήσωσιν. Ἡ δὲ προέχουσα
them and to-see where they-arrive the and foremost
τῶν περιστερῶν, ἑπόμενον τὸν θηρευτὴν ὁρῶσα, ἔφη πρὸς
of-the doves following the hunter seeing said to

τὰς λοιπάς· «Ὁ θηρευτὴς οὗτος, ὡς ὁρᾶτε, ἕπεται ἡμῖν·
the rest the hunter this as you-see follows us
καὶ εἰ κατὰ πεδίον τὴν πτῆσιν ποιησόμεθα, οὐκ ἀπόσχοιτο
and if over plain the flight we-will-make not he-would-leave-off
ἀκολουθῶν· εἰ δὲ ἐπ᾽ ὀρέων καὶ δυσβάτων τόπων, τάχισ᾽
following if but over mountains and impassable places most-quickly
ἂν ἡμῶν ἀπογνῷ. Πρὸς δὲ τούτοις ὑπὸ ταύτην τὴν ὁδὸν
— us he-would-give-up besides and these under this the road
ἔχω φίλον· καὶ εἴγ᾽ εἰς τοῦτον ἀπέλθωμεν, αὐτὸς ἡμῶν
I-have a-friend and if-indeed to him we-go he our
τὰ δεσμὰ διαῤῥήξει, καὶ τούτων ἐλευθερώσει.» Ὁ γοῦν
the bonds will-break-through and from-them will-free the at-any-rate
θηρευτὴς ἀπογνοὺς ὑπέστρεψεν. Ἠκολούθει δὲ ἄρα ὁ κόραξ,
hunter having-despaired returned followed and then the raven
ἅμα τὸν τρόπον τῆς αὐτῶν σωτηρίας μαθησόμενος, καὶ τὸν
at-once the manner of-the their safety going-to-learn and the
φίλον αὐταῖς θεασόμενος. Ὡς οὖν ἐπὶ τὴν τοῦ μυὸς γεγόνασι
friend their going-to-behold as then at the of-the mouse they-came
κατάδυσιν, κατῆλθον. Ὁ δὲ μῦς ἐξελθὼν, καὶ ἰδὼν τὴν
hole they-came-down the and mouse having-come-out and having-seen the
περιστερὰν, ἥσθη λίαν, καί φησι· «Τίς σε τοῖς τοιούτοις,
dove was-pleased greatly and says who you in-the such
ὦ φιλτάτη, ἐνέπλεξε δεινοῖς;» Ἡ δὲ, «Οὐκ οἶσθά, φησι,
O dearest entangled terrible-things she and not do-you-know she-says
ὡς τὰ ἀγαθὰ καὶ τὰ φαῦλα τῇ πεπρωμένῃ ὑπόκεινται; Ἡ
that the good-things and the bad to-the destined are-subject the
εἱμαρμένη τοῖς τοιούτοις περιέπλεξε, καὶ πρὸς τοὺς κόκκους
fate in-the such-things entangled and to the grains
ὡδήγησε, καὶ τῇ τοῦ δέοντος ἀβλεψίᾳ περιέπειρεν, ὥστε
guided and by-the of-the needful blindness pierced-through so-that
με τῷ δικτύῳ συμπεπλέχθαι. Οὐκ οὖν θαυμαστὸν τοιούτῳ
me in-the net to-be-entangled not then wonderful in-such

περιπεσεῖν με συμπτώματι· μείζονες γὰρ, ἢ ἔγωγε, μείζοσι
to-fall me a-mishap greater for than I-at-least into-greater
περιέπεσον. Ἔσθ' ὅτε γὰρ ἥλιος τῇ σελήνῃ ἐπισκοτούμενος
fell there-is when for the-sun by-the moon darkened
ἐκλείπει, καὶ ἡ σελήνη τῇ σκιᾷ τῆς γῆς συγκαλύπτεται,
is-eclipsed and the moon by-the shadow of-the earth is-covered
καὶ ὁ θαλάττιος ἰχθὺς ἐκ βάθους τοῦ ὕδατος ἁρπάζεται,
and the sea fish from depth of-the water is-snatched
καὶ τὰ πετεινὰ, ἢ ἐξ ἀέρος κατάγεται, ἢ εἰς γῆν ὄντα
and the birds either from air are-brought-down or in earth being
συλλαμβάνεται, ὅτε ὁρισθῇ τὸ τοιοῦτον, καὶ δι' οὗ
are-caught when be-determined the such and through which
πολλάκις ὁ ἀσύνετος τυγχάνει τῶν κατὰ σκοπόν.»
often the unintelligent attains the-things according-to aim
Ταῦτα λεγούσης τῆς περιστερᾶς, ἤρξατο ὁ μῦς τοὺς
these-things saying the dove began the mouse the
δεσμοὺς κατεσθίειν, καὶ λύειν. Ἡ δὲ περιστερὰ, «Ἄρξαι
bonds to-gnaw and to-loose the but dove begin
πρῶτον, ὦ φίλος, ἔφη, τὰς ὑπ' ἐμὲ ἐλευθεροῦν, εἶτα
first O friend she-said the-ones under me to-free then
ἐμέ·» Τοῦ δὲ μυὸς μὴ ἐν νῷ λαβόντος τοὺς αὐτῆς λόγους,
me the and mouse not in mind having-taken the her words
ἀλλ' ἐπιειμένου καὶ λύοντος αὐτήν· «Μή με μέμφῃ, φησὶν,
but persisting and loosing her not me blame she-says
ὦ μῦ, ὑπὲρ ὧν σοι ἐπιτάσσω. Ἐπεὶ γὰρ ὑπ' ἐμὲ αὗται
O mouse for what to-you I-enjoin since for under me these
τυγχάνουσιν οὖσαι, ἐποφείλεται ταύταις ἡ παρ' ἐμοῦ
happen being is-owed to-them the from me
πρόνοια· εὐγνωμόνως γάρ μοι ὑπηρέτησαν, καὶ διὰ τῆς
forethought gratefully for me they-served and through the
τούτων συμμαχίας τῶν τοῦ θηρευτοῦ παγίδων ἀνώτεραι
their alliance than-the of-the hunter snares higher

γεγόναμεν. Δέδια δὲ πρὸς τούτοις, μήπως προτέραν με
we-have-become I-fear and besides these lest first me
λύων ἀπείποις, καί τινα τούτων ἄλυτον ἐάσῃς· εἰ γὰρ ἔγωγε
συσχεθεὶς, εἶπεν ἐν ἑαυτῷ· εἰ ζητήσω τὴν κατάδυσίν
seized he-said in himself if I-seek the hole

μου, ἀπολοῦμαι ὑπὸ τῆς νύμφης· εἰ δὲ πάλιν δεξιὰ ἢ
my I-will-perish by the weasel if and again to-the-right or
ἀριστερὰ ἐκφύγω, ἁρπαγήσομαι ὑπὸ τῆς γλαυκός· εἰ δὲ
to-the-left I-flee I-will-be-snatched by the owl if and
καὶ πρὸς τὴν γαλῆν ἀπέλθω, βρωθήσομαι ὑπ' αὐτῆς. Ἀλλὰ
even to the cat I-go-away I-will-be-eaten by her but
σκέψομαι μηχανήν τινα, δι' ἧς σωθήσομαι· δεῖ γὰρ
I-will-consider a-contrivance some through which I-will-be-saved it-is-needful for
τὸν νοῦν ἔχοντα, ἐν περιστάσει γενόμενον μὴ θροεῖσθαι.
the-one mind having in danger having-come not to-be-alarmed
Ἀλλ' οὐχ ὁρῶ πόρον σωτηρίας ἕτερον, εἰ μὴ διὰ τῆς
but not I-see a-way of-safety other if not through the
πρὸς τὴν γαλῆν φιλίας· καὶ γὰρ καὶ αὐτὴ ἐν δεινῇ ἐστι
toward the cat friendship and for also she in terrible is
περιστάσει, καὶ ἀγωνίσομαι, εἴποτε δυνηθῶ, λυτρώσασθαι
danger and I-will-strive if-ever I-may-be-able to-ransom
αὐτὴν τῶν τοῦ θηρευτοῦ βρόχων. Οἶμαι γὰρ τούτου
her from-the of-the hunter snares I-think for of-this
ἕνεκα ταύτην μὲν ἐκδιώξειν τὴν νύμφην ἐκ τῆς ἐμῆς
for-the-sake her indeed to-drive-out the weasel from the my
ὀπῆς· ἐμὲ δὲ σωθῆναι, καὶ τὴν ταύτης ἕξειν φιλίαν.
hole me and to-be-saved and the her to-have friendship
Καὶ προσελθὼν πρὸς τὴν γαλῆν ὁ μῦς ἔφη αὐτῇ· «Πῶς
and having-approached to the cat the mouse said to-her how
διάγεις;» Ἡ δὲ, «Ἐν λύπῃ, φησὶ, καὶ στενοχωρίᾳ, καθὼς σὺ
do-you-fare she and in grief she-says and distress as you
θέλεις καὶ ποθεῖς.» Καὶ ὁ μῦς, «Ἀληθῶς ἔφης·» ἀλλ' οὖν
wish and long-for and the mouse truly you-said but then
κἀγὼ συγκοινωνός σοι ἄρτι γέγονα, ἐν περιστάσει πεσών·
I-too a-partner to-you now have-become in danger having-fallen
ὁρᾷς γὰρ δήπου καὶ σὺ τὴν νύμφην, πῶς εἰς τὴν κατάδυσίν
you-see for surely also you the weasel how into the hole

μου εἰσῆλθε, καὶ τὴν γλαῦκα ζητοῦσάν με ἀφαρπάσαι,
my entered and the owl seeking me to-snatch-away
ἀμφοτέροις ἡμῖν ἐχθρὰς οὔσας. Ἀλλὰ δεῖ καὶ ἡμᾶς,
to-both us hostile being but it-is-needful also us
χαίρειν εἰπόντας τῇ ἔχθρᾳ, διαλλαγῆναι καὶ φιλικὰς
farewell having-said to-the enmity to-be-reconciled and friendly
ποιήσασθαι συνθήκας, ὅπως κἀγὼ διά σου τῆς αὐτῶν
to-make compacts so-that I-too through you from-the their
ῥυσθήσομαι βλάβης, καί σου δι᾽ ἐμοῦ. Ἐγὼ μὲν γὰρ ἐκκόψω
will-be-delivered harm and you through me I indeed for will-cut-off
τοὺς δεσμούς, οἷς κατέχῃ, σὺ δὲ ἐκδιώξεις τῆς ὀπῆς
the bonds by-which you-are-held you and will-drive-out from-the hole
μου τὴν νύμφην.» Ταῦτα παρὰ τοῦ μυὸς ἀκούσασα ἡ γαλῆ,
my the weasel these-things from the mouse having-heard the cat
περιχαρὴς ἐγένετο, καί φησι πρὸς αὐτόν· «Εἰ τοῦτο ποιήσεις,
overjoyed became and says to him if this you-will-do
μεγάλην χάριν ἕξεις παρ᾽ ἐμοῦ, μᾶλλον δὲ ἀντάμειψιν.»
great thanks you-will-have from me rather but requital
Καὶ τότε προσελθὼν ὁ μῦς πρὸς αὐτὴν ἐποιήσαντο ἐν
and then having-approached the mouse to her they-made among
ἑαυτοῖς φιλίαν, καὶ εὐθὺς ὁ μῦς ἤρξατο κατεσθίειν τοὺς
themselves friendship and at-once the mouse began to-gnaw the
δεσμοὺς αὐτῆς. Καὶ τούτους καταφαγὼν κατέλιπεν ἕνα
bonds her and these having-gnawed-through he-left one
δεσμὸν ἐξεπίτηδες, φοβούμενος, μήπως ἀθετήσῃ ἡ γαλῆ
bond on-purpose fearing lest should-set-aside the cat
τοὺς ὅρκους. Ἡ δὲ γαλῆ ἔφη αὐτῷ· «Τί βραδύνεις, ὦ ἑταῖρε;
the oaths the and cat said to-him why do-you-delay O comrade
Μὴ ἄραγε ἐτράπη ἡ πρὸς ἐμέ σου φιλία; ἡ πρός σε δέ
not then has-turned the toward me your friendship the toward you and
μου φιλία οὐκ ἐτράπη.» Ὑποτυχὼν ἔφη ὁ μῦς· «Ἀλλὰ τὴν
my friendship not has-turned answering said the mouse but the

σὴν ἐγὼ δέδια φιλίαν· τὸ γὰρ ἐκ φύσεως οὐκ ἀφίσταται·
your I fear friendship the for from nature not departs
ἐὰν δὲ καὶ ἀφίσταται, οὐ μεθίσταται· εἰ δὲ καὶ μεθίσταται,
if and even it-departs not it-changes if and even it-changes
οὐ συνίσταται. Διὰ τοῦτο κατέλιπον τὸν ἕνα δεσμὸν,
not it-holds-together because-of this I-left the one bond
ἕως οὗ εὕρω καιρὸν ἐπιτήδειον τοῦ κατακόψαι καὶ αὐτόν.»
until — I-find a-season fitting of-the to-cut-through also it
Πρωΐας δὲ γενομένης κατέλαβε καὶ ὁ θηρευτὴς τὸν
morning and having-come arrived also the hunter the
τόπον. Ἰδὼν δὲ αὐτὸν ὁ μῦς μακρόθεν, εἶπε τῇ
place having-seen and him the mouse from-afar said to-the
γαλῇ· «Ὁ καιρὸς τοῦ πληρωθῆναι ἡμῖν τὰς συνθήκας ἤδη
cat the season of-the to-be-fulfilled for-us the compacts now
πάρεστιν· ἀλλ᾽ ἐγὼ οὐκ ἀθετῶ ταύτας.» Καὶ κόψας τὸν
is-present but I not set-aside them and having-cut the
καταλειφθέντα δεσμὸν ἔφυγεν. Ἡ δὲ γαλῆ τότε τῷ φόβῳ
left bond fled the and cat then in-the fear
τοῦ θηρευτοῦ διώξασα τὴν νύμφην εἰς τὸ δένδρον ἀνῆλθε,
of-the hunter having-chased the weasel into the tree went-up
καὶ ὁ μῦς εἰσῆλθεν εἰς τὴν κατάδυσιν αὐτοῦ. Ὁ δὲ
and the mouse entered into the hole his the and
θηρευτὴς λαβὼν τὰ δίκτυα κενὰ, ἀνεχώρησεν ἀπ᾽ αὐτῶν.
hunter having-taken the nets empty withdrew from them
Οὐ μετὰ πολλὰς οὖν ἡμέρας ἐξῆλθεν ὁ μῦς τοῦ βοσκηθῆναι·
not after many then days went-out the mouse — to-feed
καὶ ἰδὼν τὴν γαλῆν μακρόθεν οὐκ ἐθέλησε πλησιάσαι
and having-seen the cat from-afar not wished to-draw-near
πρὸς αὐτήν. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· «Πρόσελθε, ὦ φίλτατε,
to her she and to him said come O dearest
πρός με, ὅπως ἀνταμείψωμαί σε, περὶ ὧν ἐποίησας εἰς
to me so-that I-may-requite you for what-things you-did to

ἐμὲ ἀγαθῶν.» Καὶ ὁ μῦς εἶπεν αὐτῇ· «Ἡ ἡμετέρα φιλία
me good-things and the mouse said to-her the our friendship
οὐ δεῖται ἐγγύτητος· πῶς γὰρ ἐγγίσω σοι βρῶσίς σοι
not needs nearness how for will-I-draw-near to-you food to-you
ὤν; οὐ γὰρ δεῖ που τὸν ἀδύνατον πλησιάζειν τῷ
being not for it-is-needful surely the weak to-draw-near to-the
δυνατωτέρῳ αὐτοῦ ἐχθρῷ. Ἡ γοῦν προλαβοῦσα ἡμῶν
stronger than-himself enemy the at-any-rate having-gone-before our
φιλία ἀναγκαία γέγονε διὰ τὴν ἀμφοτέρων σωτηρίαν.
friendship necessary has-become because-of the of-both safety
Ἀπὸ τοῦ νῦν δὲ ἔστω ἡμῶν ἡ φιλία μακρόθεν· τὸ γὰρ
from the now and let-be our the friendship from-afar the for
ἐγγίσαι με πρός σε ἀδύνατόν ἐστι, καὶ οὐ λυσιτελεῖ μοι.»
to-draw-near me to you impossible is and not profits me
Οὕτως ἄρα, εἶπεν ὁ φιλόσοφος, δύω ἐχθροὶ ἐν περιστάσει
thus then said the philosopher two enemies in danger
μὲν φιλιοῦνται, ἀνώτεροι δὲ τῶν κινδύνων γεγονότες ἐν
indeed become-friends above but the dangers having-become in
τῇ προτέρᾳ πάλιν διαμένουσιν ἔχθρᾳ.
the former again remain enmity

ΤΜΗΜΑ ΕΝΝΑΤΟΝ

IX · THE KING AND THE PARROT

A king's son and a parrot's young are reared together, until the young bird wounds a bird the prince loves and the prince kills it. The parrot blinds the prince and flies to a height. The king, owning that he began the wrong and then blaming fate, invites him back; the parrot answers that grudges live on in the heart, that tongues say what hearts do not, and departs.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ εἶπεν· «Ἔγνων καὶ τοῦτο·
the and King to-the philosopher said I-learned also this
διασαφήνισον δὲ ἡμῖν, πῶς δεῖ τινα τὰς ἔχθρας
make-clear and to-us how it-is-needful one the enmities
εὐλαβεῖσθαι, καὶ τὰς μνησικακίας παρατηρεῖν.»
to-beware-of and the grudges to-watch
Ὁ δὲ φιλόσοφος ὑπολαβὼν ἔφη· «Βασιλεύς τις ψιττακὸν
the and philosopher answering said king a-certain a-parrot
ἐκέκτητο μιμητὸν καὶ ὡραῖον, ἔχοντα καὶ οἰκεῖον νεοττόν.
had imitative and beautiful having also own young-one
Τοῦτον προσέταξεν ὁ Βασιλεὺς, ἅμα τῷ νεοττῷ, τῷ
this ordered the King together-with the young-one with-the
οἰκείῳ συνδιαιτᾶσθαι παιδί. Συνέπαιζον οὖν ἀλλήλοις,
own to-live-with child they-played-together then with-one-another
οἷα εἰκὸς, καὶ μετελάμβανον πάντοτε τῆς αὐτῆς τροφῆς.
as likely and partook always of-the same food
Ὁ δὲ ψιττακὸς ὁσημέραι ἐπὶ τὸ ὄρος ἀπήρχετο, καὶ δύο
the and parrot daily to the mountain went-away and two
τινὰς καινὰς ὀπώρας μετεκόμιζε, καὶ ἐδίδου τὴν μὲν μίαν
some new fruits brought-back and gave the indeed one
τῷ οἰκείῳ νεοττῷ, τὴν δὲ ἑτέραν τῷ Βασιλέως παιδί.
to-the own young-one the and other to-the King's child

Ἀμφότεροι δὲ ταχέως αὐξηθέντες εἰς ἰσχύος ἐπίδοσιν καὶ
both and quickly having-grown into of-strength increase and
ἡλικίας ἦλθον ἀκμήν. Ἀποδημοῦντος οὖν τοῦ ψιττακοῦ,
of-age came prime being-away then the parrot
ὁ τούτου νεοττὸς ἐπί τι πτηνὸν, προσφιλὲς τῷ παιδὶ
the his young-one on a bird dear to-the child
τοῦ βασιλέως, ἐπεισπηδήσας ἐτραυμάτισε τοῦτο. Ἐφ' ᾧ
of-the king having-leaped-on wounded it at which
ὀργισθεὶς ὁ παῖς ἐκεῖνον ἀπέκτεινεν. Ἐλθὼν οὖν ὁ
having-been-angered the child him killed having-come then the
ψιττακὸς καὶ ἰδὼν τὸν οἰκεῖον νεοττὸν ἀνῃρημένον, καὶ
parrot and having-seen the own young-one slain and
πάνυ τῇ λύπῃ συσχεθεὶς, ἔφη· «Οὐαὶ τοῖς βασιλεῦσι,
very by-the grief seized said woe to-the kings
τοῖς μήτε συνθήκας τηροῦσι, μήτε φιλίας δεσμούς! Οὐαὶ
who neither compacts keep nor of-friendship bonds woe
δὲ καὶ τοῖς ἐξυπηρετοῦσιν αὐτοῖς, οἳ οὔτε τιμῶσιν, οὔτε
and also to-those serving them who neither honor nor
ὁρῶσί τινας, εἰ μήγε πολλάκις ἐπιδεεῖς αὐτῶν γένωνται!
regard any if not-indeed often in-need of-them they-become
Ὅτε δὲ οὐκ ἐπιδέονται τούτων, οὐδὲ προσφωνοῦσιν
when but not they-need these not-even they-address
αὐτοὺς, μὴ εἰδότες ἀρετῆς ἀμοιβὴν, μήτε συγγνώμην
them not knowing of-virtue requital nor pardon
ἁμαρτημάτων, οἱ πᾶν πλημμέλημα ἐργαζόμενοι, καὶ
of-sins who every offense working and
μηδαμῶς τοῦτο λογιζόμενοι.» Εἶτα, «Ἀμυνοῦμαι ἔφη,
in-no-way it reckoning then I-will-punish he-said
σήμερον τὸν παλαμναῖον καὶ ἁλιτήριον, καὶ πρὸς
today the murderer and sinner and to
οἶκτον ἀκαμπῆ, καὶ τῆς συναυλίας ἀθετητὴν, καὶ τῆς
pity unbending and of-the life-together violator and of-the

συνδιαιτήσεως ἐπιλήσμονα.» Καὶ ἐπεισπηδήσας τῷ τοῦ
living-together forgetful and having-leaped at-the of-the
παιδὸς προσώπῳ, τοῖς ὄνυξι τὰς κόρας τῶν ὀφθαλμῶν
child face with-the claws the pupils of-the eyes
ἐξέβαλε. Καὶ τοιοῦτον οὗτος ἔργον κατατολμήσας, ἐπί
cast-out and such he a-deed having-dared to
τινα ὑψηλότατον καὶ ὀχυρώτατον ἀνῆλθε τόπον.
a very-high and very-strong went-up place
Ὁ οὖν Βασιλεὺς τὸ γενόμενον ἀναμαθὼν, καὶ θυμοῦ
the then King the having-happened having-learned and with-anger
πλησθεὶς, ἀπῆλθε πρὸς τὸν ψιττακὸν, καὶ προσεκαλεῖτο
filled went-away to the parrot and called
αὐτόν. Ὁ δὲ ψιττακὸς ἔφη· «Γίνωσκε, ὡς ὁ τῶν
him the but parrot said know that the of-the
συνθηκῶν παραβάτης εὐάλωτος τῇ οἰκείᾳ παραβάσει
compacts transgressor easily-caught by-the own transgression
γίνεται. Καὶ εἰ πρός τινα καιρὸν ἀνέξεται τούτου ἡ
becomes and if for some season will-bear-with him the
θεία πρόνοια, οὐκ ἀπολυθήσεται τῆς καταδίκης, ἀλλ᾽
divine providence not he-will-be-released from-the sentence but
εἰς αἰῶνας κολασθήσεται· διαβαίνει δὲ κόλασις καὶ ἐπὶ
to ages he-will-be-punished passes and punishment also to
υἱοὺς καὶ υἱωνοὺς, καὶ εἰς τὸ ἑξῆς. Ὁ γοῦν σὸς υἱὸς
sons and grandsons and to the following the at-any-rate your son
τὴν ἀντέκτισιν τῆς δίκης ταχεῖαν εἴληφεν.»
the repayment of-the justice swift has-received
Ὁ δὲ Βασιλεὺς ὑπολαβὼν ἔφη· «Καλῶς εἴρηκας,
the and King answering said well you-have-spoken
καὶ οὐδὲν ἀμφίβολον καταλέλοιπας· κάτελθε λοιπὸν
and nothing doubtful you-have-left come-down now
ἀνενδοιάστως.» Ὁ δὲ ψιττακὸς ἔφη· Οὐ δεῖ με ταῦτα
without-hesitation the but parrot said not it-is-needful me these-things

ποιῆσαι· οἱ γὰρ ἐχέφρονες παραινοῦσιν ἀεὶ παρατηρεῖσθαι
to-do the for sensible advise always to-watch
τὸν μνησίκακον, καὶ ὅσον ὁ τοιοῦτος ὑποκολακεύει καὶ
the grudge-bearer and as-much-as the such fawns and
ὑποσαίνει, τοσοῦτον φευκτέος καὶ παρορατέος· καὶ οὐκ
wags-the-tail so-much must-be-fled and must-be-shunned and not
ἄλλως τις ἐκφεύξεται τὴν ἐξ αὐτοῦ βλάβην, εἰ μήγε τῇ
otherwise one will-escape the from him harm if not-indeed by-the
τούτου ἀποχῇ καὶ τῇ τῶν οἰκείων σωτηρίᾳ. Φασὶ γὰρ,
from-him abstaining and by-the of-the own safety they-say for
ὡς δεῖ τοὺς νοῦν ἔχοντας, τοὺς μὲν γονεῖς λογίζεσθαι
that it-is-needful those mind having the indeed parents to-reckon
φίλων τάξιν ἐπέχειν, τοὺς δὲ ἀδελφοὺς συνοδοιπόρων,
of-friends place to-hold the and brothers of-fellow-travelers
τὰς δὲ ὁμοζύγους συνήθων, τοὺς δὲ υἱοὺς μνήμης ἕνεκα
the and wives of-companions the and sons of-memory for-the-sake
προσειλημμένους, τὰς δὲ θυγατέρας ἀντιδίκους, τοὺς δὲ
taken-on the and daughters adversaries the and
συγγενεῖς δανειστὰς καὶ χρεῶν ἀπαιτητὰς, ἑαυτὸν δὲ
kinsmen lenders and of-debts exactors himself and
μεμονωμένον καὶ πάσης συγγενείας ἔρημον. Κἀγὼ οὖν
alone and of-all kinship bereft I-too then
τῇ τοιαύτῃ παραινέσει ἑπόμενος ἤδη μεμόνωμαι.»
to-the such advice following already am-alone
Ὁ δὲ βασιλεὺς εἶπεν· «Εἰ μέν σου πρῶτος κατήρξω τῆς
the and king said if indeed you first had-begun of-the
ἡμετέρας βλάβης, ἔδει σε ἡμᾶς παραφυλάττεσθαι·
our harm it-was-needful you us to-guard-against
ἐπειδὴ δὲ ἡ προκάταρξις ἀφ' ἡμῶν γέγονε, τί σοι
since but the first-beginning from us has-come what to-you
πάρεστιν ἐμποδὼν ἐν τούτοις τοῦ μὴ πιστεύειν ἡμῖν;»
is-present in-the-way in these of-the not to-trust us

Ὁ δὲ ψιττακὸς ἔφη· «Αἱ μνησικακίαι μέγιστα πάθη περὶ
the but parrot said the grudges greatest afflictions about
τὴν καρδίαν ἐργάζονται, καὶ γλῶσσαι οὐκ ἐμφαίνουσιν
the heart work and tongues not show
ἀληθέστατα τὰ τῶν ψυχῶν διανοήματα, καὶ τῶν καρδιῶν
most-truly the-things of-the souls thoughts and of-the hearts
ὑπὲρ τὰς γλώσσας. Οὔτε οὖν ἡ (ἐμὴ) καρδία μαρτυρεῖ
beyond the tongues neither then the (my) heart bears-witness
σου τῇ γλώττῃ, οὔτε ἡ σὴ τῇ ἐμῇ μαρτυρεῖ γλώττῃ.»
your to-the tongue nor the your to-the my bears-witness tongue
Ὁ δὲ Βασιλεὺς ἔφη· «Οὐκ οἶσθα, ὦ ψιττακέ, ὡς ὁ
the and King said not do-you-know O parrot that the
ἐχέφρων ἀνὴρ ὀφείλει τὴν μνησικακίαν ἐκριζῶσαι μᾶλλον,
sensible man ought the grudge to-uproot rather
ἢ αὐξῆσαι;» Ὁ δὲ ψιττακὸς ἔφη· «Ἔστι τοῦτο, ὦ
than to-increase the and parrot said it-is this O
Βασιλεῦ, ἔστι καθὼς εἴρηκας, ἀλλ᾽ οὐ δεῖ τὸν ἐχέφρονα
King it-is as you-have-said but not it-is-needful the sensible
ἄνδρα ὑπολαμβάνειν, ὡς ὁ ἐχθρὸς αὐτοῦ τῆς προκειμένης
man to-suppose that the enemy his the lying-before
μεταξὺ ἐπιλέλησται ἀμφισβητήσεως, ἀλλὰ παρατηρεῖσθαι
between has-forgotten dispute but to-watch-out-for
τὸ ἀπατᾶσθαι· πολλοὶ γὰρ, μὴ δυνάμενοι τῇ βίᾳ
the to-be-deceived many for not being-able by-the force
ἡττηθῆναι, τοῖς ἀπατηλοῖς ἔργοις καὶ λόγοις ἑάλωσαν,
to-be-defeated by-the deceitful deeds and words were-caught
καθάπερ ὁ ἄγριος ἐλέφας διὰ τοῦ ἡμέρου ἁλίσκεται.»
as the wild elephant through the tame is-caught
Ὁ δὲ Βασιλεὺς εἶπεν· «Ὁ ἐλευθέριος ἀνὴρ οὐ μεταλλάττει
the and King said the liberal man not changes
τὸν τρόπον, οὔτε μὲν τῆς φιλίας καταφρονεῖ, εἰ περίδειλος
the manner nor indeed the friendship despises if very-fearful

περὶ αὐτοῦ γενήσεται· τοῦτο (γὰρ) ἔργον ἀνδρῶν, τὸ
about him he-will-become this (for) the-work of-men the
φρόνημα χθαμαλῶν.» Ὁ δὲ ψιττακὸς ἔφη· «Αἱ μνησικακίαι
mind of-lowly-ones the and parrot said the grudges
πᾶσαι ἐπισφαλέστεραι αἱ ἐν ταῖς τῶν Βασιλέων ψυχαῖς,
all more-dangerous the-ones in the of-the Kings souls
οἳ δὴ λογίζονται τὴν ἀντέκτισιν τρόπαιόν τε καὶ
who indeed reckon the repayment a-trophy both and
καύχημα. Ἔοικε γὰρ ἡ μνησικακία ἄνθραξιν ἐν τῇ καρδίᾳ
a-boast resembles for the grudge coals in the heart
ἡμμένοις, οἷς ὅτε ἐπιτηδεία ὕλη πρὸς ἐπίκαυσιν
kindled to-which when suitable material for burning
προσεγγίσῃ, τὸν πυρσὸν ἀέριον ἀπεργάζεται, καὶ τὴν φλόγα
draws-near the flame aloft it-makes and the blaze
δυσκατάληπτον. Οὔτε γὰρ δυσωπήσεσιν ὁ μνησίκακος
hard-to-check neither for to-entreaties the grudge-bearer
ὑπήκει, οὔτε ἱκεσίαις μαλθακίζεται. Πολλάκις δὲ ὁ
yields nor by-supplications is-softened often and the
μνησικακούμενος, δυνάμενος ἰάσασθαι τὸν μνησίκακον
one-grudged being-able to-heal the grudge-bearer
διά τινων ἐννοιῶν καὶ ὠφελειῶν, δυναμένων ἀπαλεῖψαι
through some thoughts and benefits being-able to-wipe-out
τὰ ἐν ταῖς καρδίαις σκιῤῥωθέντα, ἐπιστρέφει πρὸς τὸ
the-things in the hearts hardened turns to the
μνησίκακον· ἀλλ᾽ ἐγὼ ἀδυνάτως ἔχω τοιούτοις πρὸς σὲ
grudge-bearing but I unable am such toward you
χρήσασθαι. Ἀλλ᾽ εἰ καθαρὰν διάθεσιν πρὸς ἐμὲ διατηρεῖς,
to-use but if pure disposition toward me you-keep
ἄγνωστον τοῦτο ἐμοὶ, καὶ περιδεὴς ἔσομαι κατὰ πάντα
unknown this to-me and very-fearful I-will-be through all
τὸν τῆς συναυλίας καιρόν. Οὐδὲν οὖν ἄλλο καταλέλειπται
the of-the life-together time nothing then other is-left

σκοποῦ ἐχόμενον ὀρθοῦ, ἀλλ᾽ ἢ τὸ ἀποσχισθῆναί σου, καὶ
to-an-aim holding right other than the to-be-split-off from-you and
ἀποχωρισθῆναι, καὶ ἀποικισθῆναι. Λοιπὸν οὖν ἔῤῥωσό μοι.»
to-be-separated and to-be-settled-away now then farewell to-me
Ὁ δὲ Βασιλεὺς εἶπεν· «Οἶδα, ὡς ἀδυνάτως ἔχει ἕκαστος
the and King said I-know that unable is each
τὸ ὠφελεῖν καὶ βλάπτειν, καὶ ὡς οὐδέν ἐστι τῶν
the to-benefit and to-harm and that nothing is of-the
ὄντων, ἢ μεῖζον ἢ ἔλαττον, ὃ μὴ κατ᾽ εἱμαρμένην
beings either greater or lesser which not according-to fate
καὶ πεπρωμένην τινὰ μοῖραν γίνεται. Καὶ ὥσπερ οὐκ
and destined some portion happens and as not
αἴτιός τις ἐστὶν τῆς γενέσεως τῶν γενομένων τοῖς
cause anyone is of-the coming-to-be of-the-things happening to-the
ἀνθρώποις, οὕτως οὐδὲ τῆς φθορᾶς τῶν φθειρομένων.
men so not-even of-the destruction of-the-things perishing
Οὐδὲν οὖν ἔγκλημα προσάπτεταί σοι ἕνεκα τῆς τοῦ υἱοῦ
no then charge is-fastened to-you for-the-sake of-the of-the son
μου πηρώσεως, οὐδὲ ἐκείνῳ ἕνεκεν τῆς τοῦ σοῦ νεοττοῦ
my maiming nor to-him for-the-sake of-the of-the your young-one
ἀναιρέσεως· εἵμαρτο γὰρ τάδε γενέσθαι, καὶ συνεργοί
slaying it-was-fated for these-things to-happen and fellow-workers
τινες ἡμεῖς τῇ τῆς εἱμαρμένης ἀνάγκῃ ἐχρηματίσαμεν.»
some we to-the of-the fate necessity were-made
Ὁ δὲ ψιττακὸς ἔφη· «Ἀληθῶς εἶπας περὶ τῆς εἱμαρμένης·
the and parrot said truly you-spoke about the fate
ἀλλὰ δεῖ τὸν νουνεχῆ παρατηρεῖν τὰ ἐπισφαλῆ, καὶ
but it-is-needful the sensible to-watch-out-for the dangerous-things and
μὴ πιστεύειν τῇ εἱμαρμένῃ, ὑπέρτερον δὲ ταύτης τὸν οἰκεῖον
not to-trust the fate higher but than-it the own
δοξάζειν λογισμόν. Ἔγωγε οὖν οἶδα, ὡς ἡ γλῶσσα ὤμωκεν,
to-esteem reasoning I-at-least then know that the tongue has-sworn

ἡ δὲ φρὴν ἀνώμοτος. Σὺ οὖν τὴν ἐμὴν ψυχὴν ζητεῖς,
the but mind unsworn you then the my soul seek
αἱ δὲ ψυχαὶ τὸν θάνατον ἀπαναίνονται. Λέγονται γὰρ,
the but souls the death refuse are-said for
ὡς ἡ πενία, καὶ ἡ λύπη, καὶ ἡ τῶν φιλτάτων στέρησις
that the poverty and the grief and the of-the dearest bereavement
μέγισται συμφοραί εἰσιν, καὶ ὁ ταῦτα μαθὼν,
greatest misfortunes are and the-one these-things having-learned
ἀκριβέστερον οἶδε τὰς τῶν παθόντων ἀλγηδόνας. Κἀγὼ
more-exactly knows the of-those having-suffered pains I-too
οὖν ἔχω τινὰ παρὰ τῇ ἐμῇ ψυχῇ ὑποδείγματα τῶν ἐν
then have some in the my soul examples of-the in
τῇ σῇ ψυχῇ παθημάτων, καὶ ἀσύμφορον ἔσται μοι τὸ
the your soul sufferings and unprofitable it-will-be to-me the
συνέπεσθαί σοι. Ὅταν γὰρ ἀπομνημονεύεις σὺ τὸ τοῦ
to-follow you when for you-remember you the of-the
υἱοῦ σου πάθος, κἀγὼ τὸ τοῦ ἐμοῦ νεοττοῦ, ἀλλοίωσις
son your suffering and-I the of-the my young-one change
μεγίστη περὶ τὰς καρδίας ἑκατέρων γίνεται.»
very-great about the hearts of-each happens
Ὁ δὲ Βασιλεὺς ἔφη· «Οὐκ ἀγαθὸς ὁ μὴ δυνάμενος
the and King said not good the-one not being-able
ἀπαλεῖψαι τὰ ἐν τῇ ψυχῇ παθήματα, ἀλλὰ μνημονεύει
to-wipe-out the-things in the soul sufferings but remembers
τινῶν ἐξ αὐτῶν.» Ὁ δὲ ψιττακὸς ἔφη· «Ὁ τὸν πόδα
some of them the and parrot said the-one the foot
ἀλγῶν, κἂν τάχιον βαδίζειν ἐπιτηδεύηται, οὐκ ἀνάλγητος
aching-in even-if more-quickly to-walk he-should-strive not painless
διατελεῖ. Καὶ ὁ ὀφθαλμιῶν, εἰ καὶ πρὸς ἀνέμων
continues and the-one having-sore-eyes if even against of-winds
ἀντωπήσει πνοὰς, πάντως, κἂν μὴ βούληται, ἀμβλυωπήσει.
he-will-look blasts by-all-means even-if not he-wishes will-see-dimly

Καὶ ὁ μνησίκακος, εἰ πρὸς τὸν μνησικακούμενον διαλέξηται,
and the grudge-bearer if with the one-grudged he-converses
πάθος τῷ πάθει προστίθησιν. Δεῖ οὖν τὸν ἐχέφρονα
suffering to-the suffering adds it-is-needful then the sensible
πόρον σωτηρίας εὑρίσκοντα, μὴ παρέρχεσθαι τοῦτον. Κἀμοὶ
a-way of-safety finding not to-pass-by it to-me-too
δὲ πολλοὶ σωτηρίας πρόκεινται πόροι. Φασὶ δὲ καὶ οἱ
and many of-safety lie-before ways say and also the
φιλόσοφοι, ὡς πέντε τινὰ ἔθη δοξάζουσι τὸν ἄνθρωπον·
philosophers that five some customs glorify the man
τὸ μὴ βλάπτειν, τὸ πεπαιδευμένον εἶναι, τὸ τὰς ἐναντίας
the not to-harm the educated to-be the the contrary
ὑπολήψεις ἐκφεύγειν, τὸ προσηνὲς καὶ φιλότιμον ἐν τοῖς
suspicions to-escape the gentle and generous in the
ἤθεσι, καὶ τὸ μεγαλοπρεπὲς ἐν τοῖς ἔργοις. Καὶ φρόνιμος,
manners and the magnificent in the deeds and prudent
ὅστις δεδοικὼς περὶ ἑαυτοῦ, ἀποσχοινίζεται συγγενῶν,
who fearing about himself separates-himself from-kinsmen
υἱέων, πλούτου, καὶ αὐτῆς τῆς πατρίδος· ἁπάντων γὰρ
sons wealth and the-very the fatherland of-all for
τούτων εὑρήσει ἀντάλλαγμα, τῆς δὲ ψυχῆς ἥκιστα εὑρήσει.
these he-will-find an-exchange of-the but soul least he-will-find
Εἴρηται δὲ, ὡς χείρων πλοῦτος τῶν ἄλλων, ὁ
it-is-said and that worse wealth than-the others the-one
μὴ μεταδιδόμενος, καὶ χείρων σύζυγος, ἡ τῷ ἀνδρὶ
not shared and worse wife the-one to-the husband
μὴ εὐνοοῦσα, καὶ χείρων παῖς, ὁ ἀπειθὴς, καὶ χείρων
not well-disposed and worse child the disobedient and worse
Βασιλεὺς, ὃς προσποιεῖται ἀθῷος, καὶ χείρων φίλος, ὁ
King who pretends guiltless and worse friend the
ἄπιστος, καὶ χείρονες πόλεις, αἱ περίφοβοι καὶ ἐπισφαλεῖς.
faithless and worse cities those very-fearful and insecure

Κἀγὼ οὖν, εἴπερ πεισθήσομαί σοι, ἀεὶ περίφοβος ἔσομαι.»
I-too then if-indeed I-will-trust you always very-fearful will-be
Ταῦτα εἰπὼν ὁ ψιττακὸς ἀφιπτάμενος ἀπηλλάγη.
these-things having-said the parrot flying-off departed
Οὕτως ἄρα χρή τινα, ὡς τὸν ψιττακὸν, εὐλαβεῖσθαι
thus then it-is-needful one like the parrot to-beware-of
καὶ παρατηρεῖν τὰς μνησικακίας.
and to-watch the grudges

ΤΜΗΜΑ ΔΕΚΑΤΟΝ

X · THE JACKAL AND THE LION

A temperate jackal who eats no flesh is made a lion's minister against his will, asking only that any charge be investigated before judgment. The lion's courtiers steal the lion's meat, hide it in his house, and accuse him, and the lion orders him killed. The lion's mother exposes the plot; a plotter confesses; recalled, the jackal warns whom a king must watch and asks to serve no longer, but the lion restores him.

Ὁ δὲ Βασιλεὺς πάλιν τῷ φιλοσόφῳ εἶπε· «Τὸ μὲν
the and King again to-the philosopher said the indeed
παράδειγμα τῶν πρὸς ἀλλήλους ἀπεχθανομένων, ἱκανῶς
example of-the toward one-another being-hostile sufficiently
ἔγνων· ὑποδειγμάτισον δέ μοι, ὅπως δεῖ τοὺς
I-learned illustrate and for-me how it-is-needful the
Βασιλεῖς ἐπιστρέφειν πρὸς ἑαυτοὺς τοὺς οἰκείους, οὓς
Kings to-turn-back to themselves the intimates whom
ἀδίκως ποτὲ λαθόντες ἐτιμώρησάν τε καὶ ἀπεσόβησαν.»
unjustly once escaping-notice they-punished both and drove-away
Ὁ δὲ φιλόσοφος αὖθις ὑπολαβὼν ἔφη· «Εἴρηται, ὡς ἔν τινι
the and philosopher again answering said it-is-said that in a
τόπῳ θώς τις διῆγεν. Ἦν δὲ ἄρα οὗτος σώφρων καὶ
place jackal a-certain lived was and then this-one temperate and

ἐπιεικὴς παρά τε τοῖς ὁμογενέσι, καὶ ταῖς ἀλώπηξι, καὶ
gentle among both the kindred and the foxes and
τοῖς λοιποῖς, οὐδέποτε ποιῶν τὰ αὐτῶν ἔργα, μήτε αἷμα
the others never doing the their deeds neither blood
ἐκχέων ἀθῷον, μήτε σαρκοφαγῶν. Ἐφ' ᾧ τὰ ἄλλα θηρία
shedding innocent nor eating-flesh at which the other beasts
ὀργισθέντα εἶπον αὐτῷ· «Γίνωσκε, θώς, ὡς ἀπαρεσκόμεθά
angered said to-him know jackal that we-are-displeased-with
σου τῇ διαγωγῇ, καὶ τῷ βίῳ, ὃν προείλου· λυσιτελοῦσι γὰρ
your the conduct and the life which you-chose profit for
οὐδέν σοι αἱ ἀρεταὶ, ἐπεὶ ἀδύνατόν σε ἡμῖν συμβαδίζειν.»
nothing you the virtues since impossible you with-us to-walk-together
Καὶ ὁ θὼς, «Ἡ μὲν ὑμετέρα, φησὶ, φιλία καὶ συνοδοιπορία,
and the jackal the indeed your he-says friendship and fellow-traveling
οὐδέν μοι ἁμάρτημα προξενεῖ· ἐπεὶ μηδὲ οἱ τόποι καὶ
nothing for-me sin procures since not-even the places and
αἱ συναυλίαι τοποῦσι τὰ ἁμαρτήματα, ἀλλ' αἱ καρδίαι καὶ
the life-together place the sins but the hearts and
τὰ ἔργα· πλὴν εἰ καὶ τῷ σώματι ὑμῖν συναυλίζομαι,
the deeds yet if even in-the body with-you I-live-together
τῇ ψυχῇ πόῤῥω ἀπῴκισμαι.» Ἐπέμενε δὲ ὁ τοιοῦτος
in-the soul far I-have-moved-away persisted and the such
θὼς τῇ ἀρετῇ οὕτως, καὶ διαβόητος ἐγένετο ἐπὶ ταύτῃ.
jackal in-the virtue thus and famous became for it
Λέων δέ τις τῶν θηρίων Βασιλεὺς, μαθὼν τὰ
lion and a-certain of-the beasts King having-learned the-things
κατ' αὐτὸν, προσεκαλέσατο τοῦτον, καί φησι πρὸς αὐτόν·
about him summoned him and says to him
«Μεγάλη μου ἡ δυναστεία, καὶ εὐρύχωροι οἱ τόποι, καὶ
great my the dominion and spacious the places and
δέομαι πιστοτάτου ὑπηρέτου· ἤκουσται γάρ μοι τὰ
I-need a-most-faithful servant it-has-been-heard for by-me the-things

περί σου, καὶ τῶν ἀρετῶν σου, καὶ δοξάσαι σε βούλομαι,
about you and of-the virtues your and to-glorify you I-wish
καί τινα σοι ἀρχὴν ἐγχειρῆσαι μεγάλην.» Ὁ δὲ θὼς
and a for-you office to-entrust great the but jackal
ἔφη· «Χρὴ τοὺς Βασιλεῖς ἑκόντας ἐπιλέγεσθαι τοὺς
said it-is-needful the Kings willing to-choose the
ὑπηρέτας, καὶ τούτοις παραδιδόναι τὰς ἀρχάς· ἐπεὶ εἴτις
servants and to-them to-hand-over the offices since if-anyone
ἀκουσίως μεταχειρίζεταί τι τῶν ἔργων, οὐ προθύμως αὐτὸ
unwillingly handles any of-the works not eagerly it
μέτεισι· κἀγὼ οὖν τὰς ἐξουσιαστικὰς ἀεὶ ἀποτρέπομαι
pursues I-too then the ruling always avoid
μεταχειρήσεις, ἄπειρος ὢν τῶν τοιούτων. Καί σοι, ὦ
handlings inexperienced being of-the such and to-you O
Βασιλεῦ, πάρεστι πολλὰ θηρίων γένη, καὶ περὶ πᾶν ἔργον
King are-present many of-beasts kinds and for every work
προθυμότατα, ἃ δή σοι ἐξυπηρετήσει, ὡς δεῖ, καὶ
most-eager which indeed you will-serve as it-is-needful and
ἑαυτὰ ὠφελήσει προσηκόντως.»
themselves will-benefit fittingly
Ὁ δὲ λέων εἶπε πρὸς αὐτόν· «Ἀρκεῖ· οὐ γὰρ ἐάσω σε τοῦ
the but lion said to him enough not for I-will-let you from-the
μὴ ἐξυπηρετεῖσθαί μοι.» Ὁ δὲ θὼς ἔφη· «Δύο τινὲς μόνοι
not to-serve me the but jackal said two some only
δύνανται τοῖς ἐξουσιασταῖς δουλεύειν· ὅ τε δόλιος ἀνὴρ, ὁ
are-able the rulers to-serve the both crafty man the-one
συγκαλύπτων τὰ ἔργα αὐτοῦ διὰ δώρων καὶ μεταδόσεων,
covering-up the deeds his through gifts and sharings
καὶ ὁ ἠλίθιος, ὁ καὶ δυσαίσθητος, ὁ τοσοῦτον διὰ
and the fool the-one also dull the-one so-much through
τῆς ἠλιθιότητος ἐκφεύγων τὸν τῶν κακῶν φθόνον. Ὁ δὲ
the folly escaping the of-the evil envy the-one but

σωφρόνως καὶ εὐσεβῶς ὑπηρετεῖσθαι πειρώμενος, σπανίως
temperately and piously to-serve trying rarely
τὰς ἔχθρας ἐκφεύγει· ὅ τε γὰρ ἐχθρὸς τοῦ ἐξουσιαστοῦ
the enmities escapes the both for enemy of-the ruler
ἀπεχθάνεται πρὸς τοῦτον, ὡς εὐνοοῦντα πρὸς αὐτὸν, καὶ
is-hostile toward him as well-disposed toward him and
ὁ φίλος ἐρίζει, βουλόμενος οἰκειότερος τούτου ἔσεσθαι.
the friend quarrels wishing more-intimate than-him to-be
Ἕτοιμος οὖν ἐστιν ὁ τοιοῦτος διὰ ταῦτα ἀπολέσθαι.»
ready then is the such because-of these-things to-perish
Ὁ δὲ Βασιλεὺς ἔφη· «Μή σοι μελέτω τῶν ἐμῶν ὑπηκόων
the and King said not to-you let-it-be-a-care of-the my subjects
ἕνεκα· ὑπέρτερόν σε γὰρ τούτων τῇ τιμῇ ἀναδείξω.» Καὶ
for-the-sake superior you for than-these in-the honor I-will-show and
ὁ θὼς, «Μεγίστη, ἔφη, πρὸς ἐμὲ εὐεργεσία, τὸ ἐάσαι με ἐν
the jackal greatest he-said toward me a-benefaction the to-let me in
ταύτῃ τῇ ἐρήμῳ ἀδεῶς διαιτᾶσθαι, ἀρκούμενον τῇ τῆς
this the desert fearlessly to-live being-content with-the of-the
χλόης καὶ τοῦ ὕδατος μεταλήψει· ἀκούω γὰρ, ὡς ἐν μιᾷ
grass and of-the water partaking I-hear for that in one
καιροῦ ῥοπῇ, ὁ τοῖς Βασιλεῦσιν ὑπηρετῶν πάσχει τῇ
of-time turn the-one the Kings serving suffers in-the
ψυχῇ ὑπὸ τοῦ δέους τοσοῦτον, ὅσον ἕτερος παρ᾽ ὅλην
soul from the fear so-much as-much-as another through whole
αὐτοῦ τὴν ζωὴν οὐχ ὑφίσταται. Καὶ μετρίως ζῶν καὶ ἀδεῶς,
his the life not undergoes and moderately living and fearlessly
κατὰ πολὺ κρείττων τοῦ ἐν δόξῃ καὶ μυρίαις φροντίσιν.»
by much better than-the-one in glory and countless cares
Ὁ δὲ λέων εἶπεν· «Ἔγνων, ἅπερ εἶπας, φοβεῖσθαι δέ σε οὐ
the and lion said I-learned what you-said to-fear and you not
χρή· ἀνάγκη δέ σε ἡμῖν ἐξυπηρετήσεσθαι.» Καὶ ὁ θώς·
it-is-needful necessity and you us to-serve and the jackal

«Ἐπεὶ ἀδύνατόν μου ἐστὶ γίνεσθαι τὸ αἴτημα, ἀξιῶ λοιπὸν,
since impossible my it-is to-come-about the request I-ask then
εἴ τις τῶν ὑπό σε κατηγορήσει μου, μὴ συναρπαχθῆναί
if anyone of-those under you will-accuse me not to-be-carried-away
σε τοῖς τούτου λόγοις εὐθὺς, ἀλλὰ ἀνέχεσθαι μετὰ τὴν
you by-the his words at-once but to-bear-with after the
ἔρευναν τὴν κρίσιν ἐπενεγκεῖν· φιλία γὰρ ἄκαιρος, ἶσόν
inquiry the judgment to-bring friendship for ill-timed equal
ἐστι τῷ μισεῖν. Καὶ βουλευόμενος μετά τινος τῶν κατά
is to-the to-hate and taking-counsel with any of-those about
σε, σκόπει πρῶτον, πῶς ἐκεῖνος τὰ οἰκεῖα διῴκησεν· ὁ
you consider first how that-one the own-affairs managed the
γὰρ κακῶς ὑπὲρ τῶν οἰκείων διατεθεὶς, οὐδέπω καλῶς
for evilly about the own-affairs disposed not-yet well
βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Καὶ τὸν προσομιλοῦντά
will-counsel about the others' and the conversing
σοι τριχῇ δεῖ σκοπεῖν, ἢ ὡς μείζονα, ἢ ὡς
with-you threefold it-is-needful to-consider either as greater or as
ἐλάττονα, ἢ ὡς ἶσον. Καὶ εἰ μὲν μείζων σου, δεῖ
lesser or as equal and if indeed greater than-you it-is-needful
ἀκούειν καὶ πείθεσθαι αὐτῷ· εἰ δὲ ἥττων, πείθειν· εἰ δὲ
to-listen and to-obey him if but lesser to-persuade if but
ἴσος, συμφωνεῖν, καὶ οὐδέποτε ἐμπέσῃς εἰς φιλονεικίαν.»
equal to-agree and never fall into contentiousness
Ὁ δὲ Βασιλεὺς, πληροφορήσας περὶ τούτου τὸν θῶα,
the and King having-assured about this the jackal
παρέδωκεν αὐτῷ τὰ ἴδια ταμεῖα, καὶ πάντων προέκρινε, καὶ
handed-over to-him the own storehouses and above-all preferred(-him) and
συμβούλῳ ἐχρῆτο, καὶ δι' αἰδοῦς καὶ σεβασμοῦ τοῦτον εἶχεν.
as-counselor used and with respect and reverence him held
Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ ἀγανακτήσαντες οἱ περὶ τὸν
not much and the in between and having-become-indignant those about the

λέοντα, καὶ φθόνου πλησθέντες, πάντα λίθον κεκινήκασιν,
lion and with-envy filled every stone have-moved
ἵνα τὸν τοῦ λέοντος θυμὸν δολίως κατὰ τοῦ θωὸς διεγείρωσι.
that the of-the lion anger craftily against the jackal they-may-rouse
Καί ποτε τροφὴν ἡδίστην, τοῦ λέοντος προστάξαντος εἰς
and once food most-sweet the lion having-ordered for
τὴν αὔριον ἑαυτῷ τηρηθῆναι, λαθόντες ταύτην ἔκλεψαν· ἣν
the morrow for-himself to-be-kept escaping-notice it they-stole which
ὁ λέων ἐπιζητήσας, καὶ μὴ εὑρὼν, πάνυ ἐπλήσθη θυμοῦ.
the lion having-sought and not having-found very was-filled with-anger
Ἀπῆν δὲ τὸ τηνικαῦτα ὁ θώς· μόνοι δὲ παρῆσαν οἱ
was-absent and the at-that-time the jackal only and were-present those
τὸν δόλον συῤῥάψαντες. Θυμῷ δὲ ἡττηθέντα τὸν λέοντα
the guile having-stitched-together by-anger and overcome the lion
θεασάμενοι, πρὸς ἀλλήλους ἔφασκον· «Ἀναγκαῖόν ἐστιν
having-beheld to one-another they-said necessary it-is
ἡμᾶς ἀναγγεῖλαι τῷ Βασιλεῖ τὰ ὠφελοῦντα τοῦτον καὶ
us to-report to-the King the-things profiting him and
βλάπτοντα, κἂν τινες ἐπὶ τοῦτο δυσχεραίνωσιν· ἀνεμάθομεν
harming even-if some at this be-displeased we-have-learned
γὰρ, ὡς ὁ θὼς εἰς τὴν ἰδίαν οἰκίαν τὴν τροφὴν τοῦ
for that the jackal to the own house the food of-the
Βασιλέως ἐκόμισεν.» Ἕτερος δὲ αὐτῶν ὑπολαβὼν ἔφη·
King carried another and of-them answering said
«Ἔοικεν ἡ πρᾶξις αὕτη ἐκείνου ὑπάρχειν· πλὴν ἐρευνήσατε
seems the deed this of-that-one to-be yet investigate
ἀκριβῶς περὶ τούτου.» Ἄλλος δὲ εἶπεν· «Εἰ τοιοῦτόν τι
exactly about this another and said if such something
φανῆται ἐργασάμενος, ἀληθῆ εἰσι πάντα, ὅσα κατ᾽
he-should-appear having-done true are all as-much-as against
αὐτοῦ ἐλέγοντο.» Ἕτερος δὲ ἔφη· «Τῷ ὄντι οὐδεὶς δόλιος καὶ
him were-said another and said in-the reality no-one crafty and

πανοῦργος ἀνὴρ ὢν, λαθεῖν δυνήσεται. Μέγα τι ἔγκλημα
villainous man being to-escape-notice will-be-able great a charge
περὶ τοῦ τοιούτου ἀκήκοα θωός· ἀλλ᾽ οὐκ ἐπίστευον τούτῳ,
about the such I-have-heard jackal but not I-believed it
ἄχρις οὗ τὸν ὑμέτερον νυνὶ λόγον ἀκήκοα.» Καὶ ἕτερος
until — the your now word I-have-heard and another
τῶν συκοφαντῶν ἔφη· «Οὐ λέληθέ με ὁ τοιοῦτος ἅμα
of-the slanderers said not has-escaped me the such together-with
τῷ θεάσασθαι αὐτόν. Πολλάκις τε πρὸς τὸν δεῖνα καὶ
the to-see him often and to the such-and-such and
δεῖνα εἶπον, ὡς μόναι ὑποκρίσεις εἰσὶ πάντα τὰ
such-and-such I-said that only pretenses are all the-things
κατ᾽ αὐτόν.» — «Εἰ τοῦτο φανῆται ἀληθὲς, ἕτερος ἔφη,
about him if this should-appear true another said
οὐ κλοπὴ ἐστι μόνον, ἀλλὰ καὶ ἀσέβεια καὶ θρασύτης.»
not theft is only but also impiety and boldness
Καὶ ἄλλος οὖν ἔφη· «Εἰ ὁ Βασιλεὺς τὴν οἰκίαν αὐτοῦ
and another then said if the King the house his
ψηλαφήσῃ, πάντως εὑρήσει τὸ ἀληθές.» Καὶ αὖθις ἄλλος·
should-search by-all-means he-will-find the truth and again another
«Γενέσθω τοιγαροῦν ἡ ἔρευνα.» Καὶ ἕτερος· «Οἶδά φησι,
let-be therefore the inquiry and another I-know he-says
ὡς ὁ θὼς τῇ συνήθει πανουργίᾳ χρησάμενος, κεναῖς
that the jackal with-the customary villainy having-used with-empty
ἀπολογίαις τὸν Βασιλέα πείσει.» Καὶ διελέγοντο οὑτωσὶ
defenses the King will-persuade and they-conversed thus
πρὸς ἀλλήλους, ἄχρις οὗ πρὸς θυμὸν τὸν λέοντα ἐκίνησαν.
with one-another until — to anger the lion they-moved
Προσκαλεσάμενος δὲ ὁ λέων τὸν θῶα, ἠρώτα πρῶτον περὶ
having-summoned and the lion the jackal asked first about
τοῦ ἐδέσματος, τί γέγονεν; Ὁ δὲ θὼς ἔφη· «Τῷ δεῖνα
the food what has-become the and jackal said to-the such-and-such

τοῦτο ἐπέδωκα, τοῦ φυλάξαι αὐτό.» Ἐκεῖνος δὲ ἐρωτηθεὶς
this I-gave — to-guard it he but being-asked
ἠρνήσατο· ἐφρόνει γὰρ τὰ τοῖς συκοφάνταις ἐκείνοις.
denied he-sided for with-the-things of-the slanderers those
Καὶ δὴ σταλέντες τινὲς παρὰ τοῦ Βασιλέως εἰς τὴν
and indeed sent some by the King to the
τοῦ θωὸς οἰκίαν, εὗρον ἐν αὐτῇ τὸ ἔδεσμα, καὶ λαβόντες
of-the jackal house found in it the food and having-taken
αὐτὸ προσήνεγκαν τῷ Βασιλεῖ. Παρῆν δὲ ἐκεῖσε λύκος
it brought to-the King was-present and there wolf
τις, ἀγαθὸς τοῖς ἄλλοις λογιζόμενος, καὶ δίκαιος, ὃς
a-certain good by-the others reckoned and just who
τηνικαῦτα προσεγγίσας τῷ Βασιλεῖ ἔφη· «Οὐ δεῖ σε,
at-that-time having-drawn-near to-the King said not it-is-needful you
ὦ Βασιλεῦ, συγγνώμην ἀπονεῖμαι τῷ ἁλιτηρίῳ τούτῳ·
O King pardon to-grant to-the sinner this
εἰ γὰρ οὗτος τῆς δίκης ἀφεθῇ, οὐδεὶς ἔτι τολμήσει
if for this-one from-the justice be-let-off no-one any-longer will-dare
δόλον τινὸς ἀποκαλύψαι τῷ κράτει σου φανερῶς.»
guile of-anyone to-uncover to-the might your openly
Προσέταξεν οὖν ὁ Βασιλεὺς τὸν θῶα τηρεῖσθαι ἀκριβῶς ἐν
ordered then the King the jackal to-be-kept exactly in
τῇ φυλακῇ. Καί τις τῶν συγκαθέδρων αὐτοῦ ἔφη· «Θαυμάζω
the prison and one of-the fellow-councilors his said I-wonder
πῶς λέληθεν ὁ θὼς, τοιοῦτος ὢν, ἄχρι τοῦ νῦν τὴν
how has-escaped-notice the jackal such being until the now the
τοῦ λέοντος ἀγχίνοιαν, πανοῦργος καὶ δόλου πλήρης ὤν.»
of-the lion shrewdness villainous and of-guile full being
Ἕτερος δὲ εἶπε· «Τοῦτο θαυμαστότερον, εἴγε ἐρευνήσει
another and said this more-wonderful if-indeed he-will-investigate
μετὰ τὴν τοῦ ἐγκλήματος φανέρωσιν.» Ἀπέστειλεν οὖν
after the of-the charge disclosure sent then

ὁ λέων τινὰς ἐπὶ τὸν θῶα ἐπερωτήσοντας αὐτὸν, ὅπως
the lion some to the jackal going-to-ask him how
ἔχει. Οἱ δὲ ὑποστρέψαντες ἐπλάσαντό τινας λόγους, ὡς
he-is they but having-returned fashioned some words as
ἀπὸ τοῦ θωὸς, τὸν λέοντα παροξύναντες, οὗς ἀκηκοὼς
from the jackal the lion having-provoked which having-heard
ὁ λέων, ἀναιρεθῆναι παραυτίκα τὸν θῶα προσέταξεν.
the lion to-be-killed at-once the jackal ordered
Ὅπερ μαθοῦσα ἡ τοῦ λέοντος μήτηρ, καὶ γνοῦσα
which having-learned the of-the lion mother and having-known
τὸ σκευώρημα, ἀναβαλέσθαι τὴν τοῦ θωὸς ἀναίρεσιν
the plot to-put-off the of-the jackal slaying
διεπράξατο. Καὶ πρὸς τὸν λέοντα παραγενομένη, «Δι' ἣν
contrived and to the lion having-come for what
αἰτίαν, ὦ τέκνον, ἀναιρεῖς, φησι, τὸν θῶα;» Καὶ ὁ λέων
cause O child do-you-slay she-says the jackal and the lion
εἶπεν αὐτῇ τὰ γεγονότα. (Ἡ δὲ μήτηρ ἔφη· οὐ καλῶς
told her the-things having-happened (the and mother said not well
ἔσπευσας ἐν τούτῳ τέκνον)· χρὴ γὰρ τὸν νουνεχῆ
you-hastened in this child) it-is-needful for the sensible
σπεύδειν ἐκφεύγειν τὸν εἰς νέωτα μετάμελον, καὶ δεῖ
to-hasten to-escape the into next-year regret and it-is-needful
περὶ τούτου πάντων μάλιστα ἀνέχεσθαι καὶ μὴ σπεύδειν.
about this of-all most to-bear-with and not to-hasten
Ἥτε γὰρ γυνὴ διὰ τοῦ ἰδίου ἀνδρὸς συνίσταται, καὶ
the-both for wife through the own husband holds-together and
ὁ παῖς διὰ τῶν γονέων, καὶ ὁ μαθητὴς διὰ τοῦ
the child through the parents and the disciple through the
διδασκάλου, καὶ ὁ στρατὸς διὰ τοῦ στρατηγοῦ, καὶ
teacher and the army through the general and
ὁ βασιλεὺς διὰ τῶν νόμων, καὶ οἱ νόμοι διὰ τῆς
the king through the laws and the laws through the

φρονήσεως, καὶ ἡ φρόνησις διὰ τῆς ἀνοχῆς. Καὶ ἀρχὴ
prudence and the prudence through the forbearance and beginning
συνέσεως βασιλέως, τὸ γινώσκειν τοὺς ὑπ᾽ αὐτὸν, καὶ
of-understanding of-a-king the to-know those under him and
ἑκάστῳ τὴν κατ᾽ ἀξίαν ἀπονέμειν τιμὴν, καὶ εἰδέναι, ὡς
to-each the according-to worth to-assign honor and to-know that
οὐ παύσονται οὗτοι πρὸς ἀλλήλους ἐρίζοντες, καὶ ἀλλήλων
not will-cease these with one-another quarreling and one-another
κατηγοροῦντες. Καί σου οὖν ἐδοκίμασας πολλάκις τὸν θῶα,
accusing and you then tested often the jackal
καὶ εὑρὼν τοῦτον πιστότατον, ἀρτίως δι᾽ εὐτελῆ τροφὴν
and having-found him most-faithful just-now for paltry food
βιοθάνατον ἀπεργάζῃ, διὰ κατηγορίαν μοχθηρῶν τινων.
a-violent-death you-make(-him) because-of accusation of-wicked some
Ἢ ἀγνοεῖς, ὡς οἱ βασιλεῖς, ὅτε ἑτέροις ἐπιτρέψωσιν,
or are-you-ignorant that the kings when to-others they-entrust
ἃ αὐτοὶ ὀφείλουσι δι᾽ ἑαυτῶν μετέρχεσθαι,
what-things themselves ought through themselves to-pursue
ἀπόλυνται; Οὐχ ὁρᾷς τοὺς τὸν οἶνον ἐξωνουμένους, ὅπως
perish not do-you-see those the wine buying how
ἀκριβολογοῦνται περὶ τὴν χρόαν αὐτοῦ καὶ τὴν γεῦσιν, καὶ
they-are-exact about the color its and the taste and
τὴν ὀσμὴν, μήπως ἀδικηθῶσι; Πόσον γε δεῖ μᾶλλον
the smell lest they-be-wronged how-much indeed it-is-needful more
τοὺς βασιλεῖς ἀκριβολογεῖσθαι ἕνεκα τῶν προκειμένων
the kings to-be-exact for-the-sake of-the lying-before
μεγίστων ἔργων; Δεῖ οὖν σε, ὦ Βασιλεῦ, διασκέψασθαι
greatest works it-is-needful then you O King to-examine
περὶ τοῦ θωὸς ἀκριβέστερον· θαυμάζω γὰρ, πῶς ὁ
about the jackal more-exactly I-wonder for how the
τοιοῦτος ἐν χρόνῳ τοσούτῳ κρεῶν ἀπεχόμενος, μικρὸν
such in time so-great from-meats abstaining small

νυνὶ ἑαυτῷ ἐσφετερίσατο ἔδεσμα; Πόθεν οὖν οἶδας, εἰ οἱ
now for-himself appropriated food whence then do-you-know if the
κατήγοροι αὐτοῦ τὸ ἔδεσμα λάθρα ἐν τῇ αὐτοῦ κατέκρυψαν
accusers his the food secretly in the his hid
οἰκίᾳ, τῷ φθόνῳ βαλλόμενοι; ἢ οὐχ ὁρᾷς τὸν γῦπα,
house by-the envy being-struck or not do-you-see the vulture
ὅταν πτῶμα φέρῃ, ὑπὸ πολλῶν ὑπὲρ τούτου πτηνῶν
when a-carcass he-carries by many for it birds
συμπολεμούμενον; καὶ τὸν κύνα, ὅταν δράξηται ὀστοῦν,
warred-upon and the dog when he-grasps a-bone
ὑπὸ πολλῶν κυνῶν καθυλακτούμενον; Δύο γάρ εἰσιν αἱ
by many dogs barked-at two for are the
μέγισται βλάβαι, τοῖς τε ἄρχουσι, τοῖς τε ἀρχομένοις,
greatest harms to-the both rulers to-the and ruled
καὶ μάλιστα τοῖς ἄρχουσι· τὸ ἀγαθῶν συμβούλων καὶ
and most to-the rulers the of-good counselors and
φίλων στερηθῆναι, καὶ τὸ πονηροὺς ἔχειν συμβούλους
friends to-be-deprived and the wicked to-have counselors
καὶ φίλους. Ὁ οὖν θὼς, ὅλος σοι προσανακείμενος, καὶ
and friends the then jackal wholly to-you devoted and
μηδέν σοι ἀποκρύπτων, ἔργον φθόνου γέγονε.»
nothing from-you hiding a-work of-envy has-become
Ταῦτα τῆς μητρὸς τοῦ λέοντος δημηγορησάσης, εἰσῆλθέ
these-things the mother of-the lion having-harangued came-in
τις τῶν πονηρῶν ἐκείνων συνομωτῶν, καὶ ἀνήγγειλε
one of-the wicked those conspirators and reported
τῷ λέοντι ἅπαν τὸ κατὰ τὸν ἀθῷον θὼα σκευώρημα.
to-the lion all the against the innocent jackal plot
Τὸ δὲ διαγνοῦσα ἡ τοῦ Βασιλέως μήτηρ, ἔφη πρὸς
it and having-discerned the of-the King mother said to
αὐτόν· «Ἐπειδὴ ἔγνως τ' ἀληθὲς, ἀποδίωξον τοὺς
him since you-have-learned the truth drive-away the

ἁλιτηρίους τούτους καὶ πονηροὺς συκοφάντας, καὶ μὴ
sinners these and wicked slanderers and not
καταφρονήσῃς τούτων, ὡς μηδαμινῶν· ὁ γὰρ ἀσθενὴς
despise them as worthless the for weak
χόρτος συνδεδεμένος σχοινίον ἀποτελεῖ, δυνάμενον τὸν
grass bound-together a-rope makes able the
παμμεγέθη κατέχειν ἐλέφαντα. Οἰκείωσον δὲ αὖθις τὸν θῶα·
huge to-hold elephant make-your-own and again the jackal
πρὸς γὰρ τὴν προτέραν ἀποκαταστήσεταί σοι εὔνοιαν.»
to for the former he-will-be-restored to-you goodwill
Ὁ δὲ Βασιλεὺς λέων, ἐνθυμηθεὶς τῶν τοῦ θωὸς ῥημάτων,
the and King lion having-recalled the of-the jackal words
εἰπόντος αὐτῷ· «Ὡς, εἴτις κατηγορήσειεν αὐτοῦ, μὴ
he-having-said to-him that if-anyone should-accuse him not
ἀκοῦσαι τοὺς λόγους αὐτοῦ, ἀλλὰ μετὰ τὴν ἔρευναν τὴν
to-hear the words his but after the inquiry the
δίκην ἀποδοῦναι,» μετεκαλέσατο αὐτὸν, καὶ ὑπέσχετο
justice to-render recalled him and promised
τούτῳ, ὡς διὰ τιμῆς πλείονος αὐτὸν ἕξει. Ὁ δὲ θὼς
him that through honor greater him he-will-hold the but jackal
εἶπε· «Γίνωσκε, Βασιλεῦ, ὡς μέγιστον προτέρημά ἐστι
said know King that greatest advantage is
τὸ ἀνέχεσθαι τὸν ἄρχοντα τοῦ ὑπηκόου, παῤῥησιαζομένου
the to-bear-with the ruler the subject speaking-freely
τὴν ἀλήθειαν. Κἀγὼ οὖν εὐνοϊκῶς λέγω, ὡς οὐ χρή
the truth I-too then well-disposedly say that not it-is-needful
με εἰσέτι σοι ὑπουργεῖν· δεῖ γὰρ τοὺς βασιλεῖς
me any-longer you to-serve it-is-needful for the kings
παρατηρεῖν τοὺς παρ᾽ αὐτῶν ἀδίκως βλαπτομένους, καὶ
to-watch those by them unjustly harmed and
τοὺς πλοῦτον ὁμοίως ἀφαιρουμένους, καὶ τοὺς ποτὲ
those wealth likewise deprived and those once

οἰκείους, ἀναιτίως ἀπομακρυθέντας, καὶ τοὺς στερηθέντας
intimate without-cause put-far-away and those deprived
μισθοῦ τινος, καὶ τοὺς πλεονέκτας καὶ ἀπλήστους, καὶ
of-wage some and those grasping and insatiable and
λογιζομένους τὴν τῶν βασιλέων ὠφέλειαν οἰκείαν βλάβην,
reckoning the of-the kings benefit own harm
καὶ τὴν ἐκείνου βλάβην ἰδίαν ὠφέλειαν· οὗτοι γὰρ
and the his harm own benefit these for
πάντες ἐχθρῶν τάξιν ἐπέχουσι, καὶ φευκτέοι εἰσί. Καὶ
all of-enemies place hold and to-be-fled are and
πρὸς τούτοις δέδοικα, μήπως πάλιν τὸ πονηρὸν τοῦτο
besides these I-fear lest again the wicked this
ἄθροισμα δόλον τινὰ κατ᾽ ἐμοῦ συῤῥάψῃ, καὶ τῇ παρούσῃ
gathering guile some against me stitch-together and the present
ὑπολήψει συνεργῷ πρὸς τοῦτό σοι χρήσηται.» Ὁ δὲ λέων
suspicion as-fellow-worker for this you it-may-use the but lion
ὑπολαβὼν ἔφη· «Ἔγνων σου τὴν φύσιν, ὡς ἀγαθή ἐστι καὶ
answering said I-learned your the nature that good it-is and
πάσης ὑπολήψεως ἀλλοτρία· τὸν δὲ ἀγαθὸν ἄνδρα μυρίων
of-all suspicion foreign the and good man countless
ἐπιλαθέσθαι ἁμαρτημάτων εὐεργεσία μία παρασκευάζει.
to-forget sins benefaction one prepares
Λοιπὸν προθύμως ἡμῖν ὑπούργει.» Ἀπεκατεστάθη οὖν ὁ
henceforth eagerly us serve was-restored then the
θὼς εἰς τὴν προτέραν αὐτοῦ ὑπεροχὴν καὶ τιμήν.
jackal to the former his eminence and honor
Οὕτω δεῖ τοὺς βασιλεῖς ἐπιστρέφειν πρὸς αὐτοὺς
thus it-is-needful the kings to-turn-back to themselves
τοὺς ἑαυτῶν φίλους, οὓς ἀδίκως ποτὲ ἐδίωξάν τε καὶ
the their-own friends whom unjustly once they-pursued both and
ἀπεσόβησαν.
drove-away

ΤΜΗΜΑ ΕΝΔΕΚΑΤΟΝ

XI · THE HERMIT, THE GOLDSMITH, AND THE BEASTS

A hermit draws an ape, a snake, and a dragon from a pit, and against their warning a goldsmith as well. Long after, the ape brings him fruit and the dragon the jewels of the king's daughter, whom it has killed; the goldsmith denounces the hermit to the king as her murderer, and he is flogged. The snake bites the prince, whom only the hermit's prayer can heal; the hermit tells his story and is rewarded, and the goldsmith is put to death.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Καὶ τοῦτό σου τὸ
the and King to-the philosopher said also this your the
παράδειγμα ἔγνων· ἀνάγγειλον οὖν μοι, τίνα δεῖ τὸν
example I-learned report then to-me whom it-is-needful the
Βασιλέα εὐεργετεῖν, καὶ πῶς δεῖ καταπιστεύεσθαι;»
King to-benefit and how it-is-needful to-be-trusted
Ἀρξάμενος οὖν πάλιν ὁ φιλόσοφος, τοιαῦτα τῷ Βασιλεῖ
having-begun then again the philosopher such to-the King
ἔφασκε ῥήματα· «Δεῖ τὸν Βασιλέα εὐεργετεῖν τοὺς
spoke words it-is-needful the King to-benefit the
εὐχαρίστους, καὶ ἀξίους τῆς εὐεργεσίας, καὶ μὴ προκρίνειν
grateful and worthy of-the benefaction and not to-prefer
αὐτὸν τοὺς συγγενεῖς αὐτοῦ, καὶ φίλους, καὶ πλουσίους, τῶν
him the kinsmen his and friends and rich the
δὲ πενήτων καταφρονεῖν· ἀλλὰ τὸν νουνεχῆ καὶ φρόνιμον
but poor to-despise but the sensible and prudent
εὐεργετεῖν, καὶ προσδέχεσθαι τοὺς εὐγνώμονας καὶ πιστούς,
to-benefit and to-receive the right-minded and faithful
καὶ εἴπερ εἰσὶν ἐκ τῶν ἀχρηστοτέρων. Καὶ γὰρ οὗτοι
even if-indeed they-are of the more-useless and for these
ἐν καιρῷ ἀνάγκης ἀνταμείψονται αὐτῷ· φησὶ γάρ που
in season of-need will-requite him says for somewhere

τις τῶν σοφῶν· «Ἄνθρωπος ἀνθρώπῳ τὴν ἀπάντησιν
one of-the wise man to-man the meeting
προσποιεῖται· ἀνθρώπου δὲ ἀχαρίστου μὴ φείδεσθαι, μηδὲ
makes of-man but ungrateful not to-spare nor
καταπιστεύειν αὐτῷ.» Καὶ φέρω σοι ἐκ τῶν ἀλόγων ζώων
to-trust him and I-bring you from the irrational animals
τοιοῦτόν τι παράδειγμα· Λέγεται γὰρ, ὡς ὤρυξάν τινες
such an example it-is-said for that dug some
λάκκον τοῦ θηρεῦσαι λέοντα· ἔτυχε δὲ πεσεῖν ἐν αὐτῷ τινα
a-pit — to-hunt a-lion it-happened and to-fall in it a
χρυσοχόον, καὶ πίθηκον, καὶ δράκοντα, καὶ ὄφιν. Ἰδὼν
goldsmith and an-ape and a-dragon and a-snake having-seen
δέ τις αὐτοὺς ἐρημίτης, εἶπεν ἐν ἑαυτῷ· «Προξενήσω
and a them hermit said in himself I-will-procure
ἐμαυτῷ μισθὸν ἀΐδιον, λυτρωσάμενος τὸν ἄνδρα τοῦτον ἐκ
for-myself a-wage everlasting having-ransomed the man this from
τῆς βλάβης τῶν θηρίων.» Χαλάσαντος οὖν τὸ σχοινίον,
the harm of-the beasts having-let-down then the rope
πρῶτος ἀνῆλθεν ὁ πίθηκος. Ἐκ δευτέρου δὲ τοῦτο τοῦ
first came-up the ape for-a second-time and it the
ἐρημίτου χαλάσαντος, ἀνῆλθεν ὁ ὄφις. Τρίτον δὲ ὁ
hermit having-let-down came-up the snake third and the
δράκων. Ἀνελθόντα οὖν τὰ ζῶα χάριτας ὡμολόγουν τῷ
dragon having-come-up then the animals thanks acknowledged to-the
τούτων σωτῆρι ἐρημίτῃ. Ἔλεγον δὲ αὐτῷ· «Κατάλειψον
their savior hermit they-said and to-him leave
τὸν ἄνθρωπον ἐν τούτῳ τῷ λάκκῳ· ἀχάριστος γάρ ἐστι.»
the man in this the pit ungrateful for he-is
Καί φησιν ὁ πίθηκος· «Ἐγὼ οἰκῶ πλησίον πόλεως Ζάνζουρ,
and says the ape I dwell near city Zanzur
καὶ εἰ συμβῇ σοι ἐκεῖθεν διαπεράσαι, ἀμείψομαί σε τὴν
and if it-should-happen to-you thence to-pass-through I-will-requite you the

εἰς ἐμὲ γενομένην εὐεργεσίαν.» Τὸ δὲ αὐτὸ καὶ ὁ ὄφις, καὶ
to me done benefaction the and same also the snake and
ὁ δράκων ἔφασαν, ἐν τοῖς τείχεσι τὴν οἴκησιν ποιεῖσθαι
the dragon said in the walls the dwelling to-make
τῆς αὐτῆς πόλεως. Τούτων δὲ ἀπελθόντων, οὐδένα λόγον
of-the same city these and having-gone-away no account
τῆς τῶν ζώων συμβουλῆς ποιησάμενος ὁ ἀσκητὴς,
of-the of-the animals counsel having-made the ascetic
χαλάσας τὸ σχοινίον, ἀνήγαγε καὶ τὸν χρυσοχόον.
having-let-down the rope brought-up also the goldsmith
Εὐχαριστήσας δὲ καὶ οὗτος, καὶ εἰπὼν ἐν τῇ αὐτῇ καὶ
having-given-thanks and also this-one and having-said in the same also
αὐτὸς οἰκεῖν πόλει, ἀπῆλθε, παραγγείλας τῷ ἀσκητῇ, εἴπερ
he to-dwell city went-away having-charged the ascetic if-indeed
ποτὲ τὴν διάβασιν ἐκεῖθεν ποιήσηται, ἐρευνῆσαι αὐτὸν, καὶ
ever the crossing thence he-should-make to-seek-out him and
ἕτοιμον εἶναι τὴν εὐποιΐαν τῷ πεποιηκότι ἀμείψεσθαι.
Αἴσωπον μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν αὐτὸν καὶ
Aesop having-sent-for the merchant having-seen him and
ἀνακαγχάσας, „πόθεν σοι“ φησὶ πρὸς τὸν Ζηνᾶν „ἥδε ἡ
having-guffawed whence to-you he-says to — Zenas this the
χύτρα; πότερον στέλεχός ἐστι δένδρου ἢ ἄνθρωπος; οὗτος
pot whether a-stump is of-a-tree or a-man this-one
εἰ μὴ φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐχὶ δοκεῖν
if not voice he-had nothing — it-would-need not not to-seem
ἀσκοκήλη. ἵνα τί μοι τὴν πορείαν διέκοψας τουτουὶ
a-wineskin-rupture for what me the journey did-you-cut-short of-this
τοῦ καθάρματος ἕνεκα;“ ταῦτ’ εἰπὼν ἀπῄει τὴν ἑαυτοῦ.
of-the scum for-the-sake these-things having-said he-went the his-own
ὁ δ’ Αἴσωπος μεταδιώξας αὐτόν, „μεῖνον“ φησίν. ὃ δὲ
— but Aesop having-pursued him wait he-says he and
μεταστραφείς, „ἄπιθι“ φησίν „ἀπ’ ἐμοῦ, ῥυπαρώτατε κύον“.
having-turned-round go-away he-says from me filthiest dog
καὶ ὁ Αἴσωπος· „εἰπέ μοι; τίνος ἕνεκεν δεῦρο ἐλήλυθας“;
and — Aesop tell me of-what for-the-sake hither have-you-come
καὶ ὁ ἔμπορος· „κάθαρμα, ἵνα τι χρηστὸν πρίωμαι· σοῦ
and the merchant scum that something useful I-may-buy of-you

δὲ ὄντος ἀχρήστου καὶ σαπροῦ οὐ χρῄζω“. καὶ ὁ Αἴσωπος·
but being useless and rotten not I-need and — Aesop
„ὤνησαί με, καὶ εἴ τίς ἐστι πίστις, πολλά σε ὠφελῆσαι
buy me and if any is faith much you to-benefit
οἷός τ’ εἰμί“. καὶ ὅς· „τί δ’ ἂν σοῦ ὀναίμην, στυγήματος
such-as indeed I-am and he what but — of-you may-I-profit loathsome-thing
ὄντος αὐτόχρημα“; καὶ ὁ Αἴσωπος· „οὐ πάρεστί σοι
being downright and — Aesop not are-present to-you
παιδία οἴκοι ἀτακτοῦντα καὶ κλαίοντα; τούτοις ἐπίστησόν
children at-home misbehaving and crying over-them set
με παιδαγωγόν, καὶ πάντως αὐτοῖς ἀντὶ μορμοῦς
me as-tutor and by-all-means to-them instead-of a-bogey
ἔσομαι.“ γελάσας οὖν ἐπὶ τούτοις ὁ ἔμπορός φησι τῷ
I-will-be having-laughed then at these-things the merchant says —
Ζηνᾷ· „πόσου τὸ κακὸν τόδε πωλεῖς ἀγγεῖον“; ὃ δέ
to-Zenas for-how-much the bad this do-you-sell vessel he and
„τριῶν“ φησίν „ὀβολῶν“. ὁ δ’ ἔμπορος αὐτίκα τοὺς τρεῖς
for-three he-says obols the and merchant at-once the three
ὀβολοὺς κατεβάλετο, λέγων „οὐδὲν κατεθέμην, καὶ οὐδὲν
obols paid-down saying nothing I-laid-down and nothing
ἐπριάμην“. ὁδευσάντων τοιγαροῦν καὶ ἀφικομένων αὐτῶν
I-bought having-traveled therefore and having-arrived they
οἴκαδε, παιδάρια δύο ὑπὸ μητρὶ ἔτι τελοῦντα, τὸν Αἴσωπον
homeward little-boys two under a-mother still being — Aesop
ἰδόντα καὶ συγχυθέντα ἀνέκραξε. καὶ ὁ Αἴσωπος εὐθὺς
having-seen and confounded cried-out and — Aesop at-once
τῷ ἐμπόρῳ φησίν· „ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν“.
to-the merchant says you-have my of-the promise proof
ὃ δὲ γελάσας, „εἰσελθών“ φησίν „ἐνδοτέρω, ἄσπασαι τοὺς
he and having-laughed having-gone-in he-says further-in greet the
συνδούλους σου“. τὸν δὲ εἰσελθόντα καὶ ἀσπασάμενον
fellow-slaves your him and having-gone-in and having-greeted

ἰδόντες ἐκεῖνοι, „τί ποτε ἄρα κακὸν τῷ ἡμῶν δεσπότῃ“
having-seen they what ever then evil to-the our master
φασί „συμβέβηκεν, ὅτι σωμάτιον αἰσχρὸν οὕτως ἐπρίατο;
they-say has-happened that a-slave ugly so he-bought
ἀλλ’ ὡς ἔοικεν, ἀντὶ βασκανίου τοῦτο τῆς οἰκίας ὠνήσατο“.
but as it-seems as an-amulet this for-the house he-bought
Μετὰ δ’ οὐ πολὺ καὶ ὁ ἔμπορος εἰσελθών, τὰ πρὸς
after and not much also the merchant having-come-in the-things for
ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε· μέλλειν γὰρ τὴν
road to-be-made-ready to-the slaves enjoined to-be-about for on-the
ἐπιοῦσαν εἰς Ἀσίαν πορεύεσθαι. οἳ μὲν οὖν αὐτίκα τὰ σκεύη
following-day to Asia to-go they indeed then at-once the baggage
διεμερίζοντο. ὁ δ’ Αἴσωπος ἐδεῖτο τοῦ κουφοτάτου τῶν
divided — and Aesop begged the lightest of-the
φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ καὶ μήπω
loads to-him to-yield as indeed newly-bought and not-yet
πρὸς τὰς τοιαύτας ὑπουργίας γεγυμνασμένῳ. τῶν δέ, καὶ εἰ
for the such services trained they and even if
μηδὲν ἆραι βούλεται, συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ
nothing to-lift he-wishes pardon granting he not
δεῖν ἔλεγε πάντων κοπιώντων αὐτὸν μόνον ἀσυντελῆ
to-be-needful said all toiling himself alone not-contributing
τυγχάνειν. τῶν δὲ ὅπερ ἂν ἆραι βούληται ἐπιτρεπόντων,
to-be they and whatever — to-lift he-wishes permitting
δεῦρο κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθρήσας διάφορα,
hither and-thither having-looked-around and baggage having-viewed various
σάκκους καὶ στρώματα καὶ γυργάθους, ἕνα γύργαθον
sacks and bedding and baskets one basket
ἄρτων πεπληρωμένον, ὃν καὶ δύο βαστάζειν ἔμελλον,
with-loaves filled which even two to-carry were-about
αὐτῷ ἐπιτεθῆναι κελεύει. οἳ δὲ γελάσαντες καὶ μηδὲν εἶναι
on-him to-be-put orders they and having-laughed and nothing to-be

μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς
more-foolish than-the vulgar this scum saying who
μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἆραι τῶν φορτίων
a-little indeed before the lightest to-lift of-the loads
ἐδεῖτο, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο· χρῆναι
begged now but the of-all heaviest chose it-was-needful
μέντοι τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι· ὑπολαβόντες τὸν
however the desire his to-fulfill having-taken-up the
γύργαθον ἐπιτιθέασι τῷ Αἰσώπῳ. ὁ δὲ κατὰ τῶν ὤμων
basket they-put-on — on-Aesop he and on the shoulders
τὸ φορτίον ἐπηχθισμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο. τὸν
the load burdened hither and-thither staggered him
δὲ ἰδὼν ὁ ἔμπορος ἀπεθαύμασε καί φησιν· „Αἴσωπος
and having-seen the merchant marveled and says Aesop
εἰς τὸ πονεῖν πρόθυμος ὢν ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε·
for the to-toil eager being already the his-own price has-paid-off
κτήνους γὰρ φόρτον ἤρατο“. ἐπεὶ δὲ ὥρας οὔσης ἀρίστου
of-a-beast for burden he-lifted when and the-hour being of-breakfast
κατέλυσαν, Αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν
they-halted Aesop ordered to-hand-out-bread half-empty the
γύργαθον πολλῶν φαγόντων ἐποίησεν. ὅθεν καὶ μετὰ τὸ
basket many having-eaten made whence also after the
ἄριστον κουφοτέρου τοῦ φορτίου γεγονότος, προθυμότερον
breakfast lighter the load having-become more-eagerly
ὥδευε. καὶ δὴ καὶ ἑσπέρας οὗ κατήχθησαν πάλιν
he-traveled and indeed also in-the-evening where they-put-up again
ἀρτοδοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασιν ἐπὶ
having-handed-out-bread on-the next day empty altogether on
τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάντων ᾔει,
the shoulders holding-up the basket first of-all he-went
ὡς καὶ τοῖς συνδούλοις, προτρέχοντα τοῦτον ὁρῶσιν,
so-that even to-the fellow-slaves running-ahead him seeing

ἀμφίβολα γίνεσθαι, πότερον ὁ σαπρός ἐστιν Αἴσωπος ἢ
doubtful to-become whether the rotten-one is Aesop or
τις ἕτερος· καὶ καταμαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως
some other and having-learned him to-be to-wonder how
τὸ μεμελανωμένον ἀνθρώπιον νουνεχέστερα πάντων ἔπραξε,
the blackened manikin more-sensibly than-all did
τοὺς ῥᾳδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ
the easily consumed loaves having-lifted they the
στρώματα καὶ τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων,
bedding and the rest of-the baggage having-loaded-themselves
ἃ μὴ φύσιν ἔλαχεν οὑτωσὶ δαπανᾶσθαι.
which not by-nature were-allotted thus to-be-consumed
ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ Ἐφέσῳ γενόμενος, τὰ μὲν ἄλλα
the indeed then merchant at — Ephesus having-come the indeed others
τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο, ὑπελείφθη δ' αὐτῷ
of-the slaves with profit sold were-left and to-him
τρία, γραμματικός, ψάλτης καὶ ὁ Αἴσωπος. τῶν δέ τις
three a-grammarian a-harpist and — Aesop of-the and one
αὐτῷ συνήθων συμβουλεύσας εἰς Σάμον ἀπᾶραι, ὡς ἐκεῖ
to-him acquaintances having-advised to Samos to-set-sail as there
δὴ σὺν μείζονι κέρδει ἀπεμπολήσοντι τὰ σωμάτια, πείθει.
indeed with greater profit going-to-sell the slaves persuades
καὶ ὁ ἔμπορος ἐπιβὰς τῆς Σάμου, τὸν μὲν γραμματικὸν
and the merchant having-landed-on — Samos the indeed grammarian
σὺν τῷ ψάλτῃ καινὰς στολὰς ἀμφιέσας, ἵστησιν ἄμφω ἐπὶ
with the harpist new robes having-clothed sets both on
τοῦ πρατηρίου. τὸν δ' Αἴσωπον ἐπεὶ μηδαμόθεν εἶχε
the sale-platform — but Aesop since from-nowhere he-was-able
κοσμῆσαι, ὅλος γὰρ ἦν ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ
to-adorn wholly for he-was a-fault a-garment of-sackcloth on-him
περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας
having-fastened between both stood(-him) so-that even those seeing

ἐξίστασθαι λέγοντας „πόθεν τοῦτο τὸ βδέλυγμα, τὸ καὶ
to-be-astonished saying whence this the abomination the-one even
τοὺς ἄλλους ἀφανίζον;“ Αἴσωπος δὲ καίπερ ὑπὸ πολλῶν
the others obliterating Aesop but although by many
σκωπτόμενος, ἵστατο μέντοι τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων.
being-mocked stood nevertheless boldly at them gazing
Ξάνθος δὲ ὁ φιλόσοφος, εἷς τῶν ἐνοικούντων ὢν τηνικαῦτα
Xanthus and the philosopher one of-those dwelling being at-that-time
τῇ Σάμῳ, προελθὼν ἐπὶ τὴν ἀγορὰν καὶ θεασάμενος
— in-Samos having-come-forward to the marketplace and having-beheld
τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ παρισταμένους,
the indeed two boys with comeliness standing-by
μέσον δὲ τούτων τὸν Αἴσωπον, ἠγάσατο τὴν τοῦ
in-the-middle and of-them — Aesop admired the of-the
ἐμπόρου ἐπίνοιαν, ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν,
merchant contrivance how the ugly-one in the between he-has-placed
ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς καλλίους ἑαυτῶν
so-that by-the juxtaposition of-the ill-favored more-handsome than-themselves
τοὺς νεανίσκους φανῆναι. ἐγγυτέρω δ’ ἐπιστάς, ἐπύθετο
the young-men to-appear nearer and having-stood he-asked
τὸν ψάλτην, πόθεν ἂν εἴη. καὶ ὅς· „Καππαδόκης“. καὶ
the harpist whence — he-might-be and he a-Cappadocian and
ὁ Ξάνθος· „τί οὖν οἶδας ποιεῖν“; ὃ δέ· „πάντα“. καὶ
— Xanthus what then do-you-know to-do he and everything and
ἐπὶ τούτοις Αἴσωπος ἐξεγέλασε. τῶν δὲ σχολαστικῶν,
at these-things Aesop burst-out-laughing of-the and students
οἳ τῷ Ξάνθῳ συνῆσαν, ὡς εἶδον αὐτὸν γελάσαντα καὶ
who — to-Xanthus were-with as they-saw him having-laughed and
παραφήναντα τοὺς ὀδόντας ἐξαίφνης, καί τι τέρας ὁρᾶν
having-shown the teeth suddenly and some portent to-see
δοξάντων, καὶ τοῦ μέν „ἦ που κήλη ἐστὶν ὀδόντας
having-thought and of-the-one indeed truly perhaps a-hernia it-is teeth

ἔχουσα“ λέγοντος, τοῦ δέ „τί ποτε ἄρα ἰδὼν ἐγέλασε;“
having saying of-the-other and what ever then having-seen did-he-laugh
τοῦ δὲ ὡς „οὐκ ἐγέλασεν, ἀλλ᾽ ἐρρίγωσεν“, πάντων δὲ
of-the-other and that not he-laughed but he-shivered all and
βουλομένων γνῶναι τίς ποτε ἦν ὁ γέλως, εἷς τις αὐτῶν
wishing to-know what ever was the laughter one a of-them
προσελθὼν τῷ Αἰσώπῳ φησίν· „ὅτου χάριν ἐγέλασας“;
having-approached — to-Aesop says of-what sake did-you-laugh
καὶ ὅς· „ἀποχώρει, θαλάττιον πρόβατον“. τοῦ δὲ
and he go-away sea sheep he and
ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ, κἀκ τοῦ
having-been-at-a-loss in-the whole at the word and-from the
εὐθέος ἀναχωρήσαντος, ὁ Ξάνθος τῷ ἐμπόρῳ φησί·
straight having-withdrawn — Xanthus to-the merchant says
„πόσου τιμήματος ὁ ψάλτης“; τοῦ δέ „χιλίων ὀβολῶν“
for-how-much price the harpist he and for-a-thousand obols
ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον
having-answered to the other came exceeding
ἀκούσας τὸ τίμημα. καὶ μέντοι καὶ τοῦτον ἐρομένου τοῦ
having-heard the price and indeed also this-one having-asked the
φιλοσόφου, πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι Λυδός, καὶ
philosopher whence — he-might-be and having-heard that a-Lydian and
ἐπανερομένου „τί οὖν οἶδας ποιεῖν;“ κἀκείνου φαμένου
having-asked-again what then do-you-know to-do and-he saying
„πάντα“, πάλιν ἐγέλασεν Αἴσωπος. τῶν σχολαστικῶν δέ
everything again laughed Aesop of-the students and
τινὸς διαπορουμένου „τί δή ποτε οὗτος πρὸς πάντα γελᾷ“;
one being-puzzled why indeed ever this-one at everything laughs
ἕτερος πρὸς αὐτὸν εἶπεν· „εἰ βούλει καὶ σὺ θαλάσσιος
another to him said if you-wish also you sea
τράγος ἀκοῦσαι, ἐρώτησον“. ὁ δὲ Ξάνθος καὶ αὖθις
goat to-be-called ask — and Xanthus also again

ἤρετο τὸν ἔμπορον· „πόσου τιμήματος ὁ γραμματικός;“
asked the merchant for-how-much price the grammarian
κἀκείνου „τρισχιλίων ὀβολῶν“ ἀποκριναμένου, δυσφόρως
and-he for-three-thousand obols having-answered grievously
ὁ φιλόσοφος ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος καὶ
the philosopher bore the excess of-the price and
στραφεὶς ἀπήει. τῶν δὲ σχολαστικῶν ἐρομένων, εἰ μὴ
having-turned went-off of-the and students having-asked if not
ἤρεσεν αὐτῷ τὰ σωμάτια, „ναί“, φησίν „ἀλλὰ δόγμα κεῖται,
pleased him the slaves yes he-says but a-doctrine lies
μὴ ἀνδράποδον ὠνεῖσθαι τῶν πολυτίμων“. ἑνὸς δὲ τούτων
not a-slave to-buy of-the costly one and of-them
φαμένου „ἀλλ’ εἰ τοῦθ’ οὕτως ἔχει, τὸν γοῦν αἰσχρὸν
saying but if this so it-is the at-any-rate ugly
τοῦτον οὐδεὶς νόμος ἐμποδὼν ἵσταται μὴ ὠνήσασθαι· τὴν
this no law in-the-way stands not to-buy the
αὐτὴν γὰρ καὶ οὗτος λειτουργίαν εἰσοίσει· καὶ ἡμεῖς τὸ
same for also this-one service will-bring and we the
τίμημα τούτου καταθησόμεθα“, Ξάνθος ἔφη· „ἀλλὰ γελοῖον
price his will-pay Xanthus said but laughable
ἂν εἴη ὑμᾶς μὲν ἐκτῖσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον
— it-would-be you indeed to-pay the price me but the slave
ὠνήσασθαι· ἄλλως τε καὶ τὸ γύναιόν μου καθάρειον ὄν,
to-buy besides — also the wife my fastidious being
οὐκ ἂν ἀνάσχοιτο ὑπ’ αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι“.
not — would-bear by an-ugly slave to-be-served
τῶν δὲ σχολαστικῶν αὖθις εἰπόντων „ἀλλ’ ἐγγὺς ἡ
of-the and students again having-said but near the
γνώμη, καθηγητά, τοῦ μὴ πείθεσθαι γυναικί“, ὁ φιλόσοφος
judgment master to-the not to-obey a-woman the philosopher
εἶπε· „λάβωμεν πρότερον πεῖραν εἰ οἶδέ τι, μή ποτε
said let-us-take first trial if he-knows anything lest ever

καὶ τὸ τίμημα μάτην ἀπόληται“. προσελθὼν γοῦν τῷ
also the price in-vain may-be-lost having-approached at-any-rate —
Αἰσώπῳ „χαῖρε“ φησί. καὶ ὅς· „μὴ γὰρ ἐλυπούμην“; καὶ
to-Aesop hail he-says and he not for was-I-grieving and
ὁ Ξάνθος· „ἀσπάζομαί σε“. κἀκεῖνος· „κἀγὼ σέ“. καὶ
— Xanthus I-greet you and-he I-too you and
ὁ Ξάνθος ἅμα τοῖς ἄλλοις ἐπὶ τῷ παραλόγῳ καὶ
— Xanthus together-with the others at the unexpected and
ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς, ἤρετο· „ποταπὸς εἶ“;
ready of-the answer amazed asked of-what-country are-you
ὁ δέ „μέλας“ φησί. καὶ ὁ Ξάνθος· „οὐ τοῦτό φημι, ἀλλὰ
he and black he-says and — Xanthus not this I-say but
πόθεν γεγέννησαι“; καὶ ὅς· „ἐκ τῆς γαστρὸς τῆς μητρός
whence have-you-been-born and he out-of the belly of-the mother
μου“. καὶ ὁ Ξάνθος· „οὐ τοῦτο λέγω, ἀλλ᾽ ἐν ποίῳ τόπῳ
my and — Xanthus not this I-say but in what place
γεγέννησαι;“ κἀκεῖνος· „οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου,
have-you-been-born and-he not told me the mother my
πότερον ἐν ἀνώγεῳ ἢ κατώγεῳ“. καὶ ὁ φιλόσοφος· „τί
whether in an-upper-room or a-ground-floor and the philosopher what
δὲ πράττειν ἐπίστασαι“; κἀκεῖνος· „οὐδέν“. καὶ ὁ Ξάνθος·
and to-do do-you-know and-he nothing and — Xanthus
„τίνα τρόπον“; ὃ δέ· „ἐπειδήπερ οὗτοι πάντα ἐπίστασθαι
in-what way he and since these all-things to-know
ἐπηγγείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν“. καὶ ἐπὶ
professed to-me and left not-even one and at
τούτοις οἱ σχολαστικοὶ ὑπερφυῶς ἀγάμενοι, „νὴ τὴν θείαν
these-things the students exceedingly admiring by the divine
πρόνοιαν“, ἔφασαν, „πάνυ καλῶς ἀπεκρίνατο· οὐδὲ γὰρ
providence they-said very well he-answered not-even for
εἷς ἐστιν ἄνθρωπος, ὃς ἅπαντα εἰδείη. διὰ γὰρ ταῦτα
one is a-man who all-things should-know because-of for these-things

δηλαδὴ καὶ ἐγέλα“. αὖθις οὖν ὁ Ξάνθος φησί· „βούλει
plainly also he-laughed again then — Xanthus says do-you-wish
πρίωμαί σε“; καὶ ὁ Αἴσωπος· „ἐμοῦ πρὸς τοῦτο συμβούλου
I-buy you and — Aesop of-me for this as-counselor
δέῃ; ὁπότερόν σοι δοκεῖ βέλτιον, ἤτοι πρίασθαι ἢ
do-you-need whichever to-you seems better either to-buy or
μή, ποίει· οὐδεὶς γὰρ οὐδὲν πρὸς βίαν ποιεῖ· τοῦτο παρὰ
not do no-one for anything by force does this with
τῇ σῇ κεῖται γνώμῃ. κἂν μὲν βούλῃ, βαλαντίου θύραν
the your lies judgment and-if indeed you-wish of-the-purse door
ἀνοίξας ἀργύριον ἀρίθμει· εἰ δὲ μή, μὴ σκῶπτε“. πάλιν
having-opened silver count if but not not mock again
οὖν οἱ σχολαστικοὶ πρὸς ἀλλήλους ἔφασαν· „νὴ τοὺς θεούς,
then the students to one-another said by the gods
νενίκηκε τὸν καθηγητήν“. τοῦ δὲ Ξάνθου φήσαντος „ἐὰν
he-has-conquered the master — and Xanthus having-said if
πρίωμαί σε, δραπετεῦσαι βουλήσῃ“; γελάσας ὁ Αἴσωπος
I-buy you to-run-away will-you-wish having-laughed — Aesop
ἔφη· „τοῦτο εἰ βουλήσομαι πρᾶξαι, οὐ πάντως χρήσομαί
said this if I-will-wish to-do not by-all-means I-will-use
σοι συμβούλῳ, ὡς δὴ καὶ σὺ μικρῷ πρόσθεν ἐμοί“. καὶ ὁ
you as-counselor as indeed also you a-little before me and —
Ξάνθος· „καλῶς μὲν λέγεις, ἀλλ’ αἰσχρὸς εἶ“. κἀκεῖνος· „εἰς
Xanthus well indeed you-speak but ugly you-are and-he to
τὸν νοῦν ἀφορᾶν δεῖ, φιλόσοφε, καὶ μὴ εἰς τὴν ὄψιν“.
the mind to-look it-is-needful philosopher and not to the looks
τότε τῷ ἐμπόρῳ προσελθὼν ὁ Ξάνθος φησί· „πόσου
then to-the merchant having-approached — Xanthus says for-how-much
τοῦτον πωλεῖς;“ καὶ ὅς· „κερτομῆσαί μου πάρει τὴν
this-one do-you-sell and he to-mock my are-you-here the
ἐμπορίαν, ὅτι τοὺς ἀξίους σου παῖδας ἀφείς, τὸν αἰσχρὸν
trade that the worthy of-you boys having-let-go the ugly

τοῦτον εἵλου; θάτερον τῶν λοιπῶν ὤνησαι, τοῦτον δὲ
this you-chose one of-the others buy this-one and
πρόσδομα λάβε". καὶ ὁ Ξάνθος· „οὐ δῆτα, ἀλλὰ τοῦτον".
as-a-makeweight take and — Xanthus not indeed but this-one
καὶ ὁ ἔμπορος· „ἑξήκοντα ὀβολῶν ὤνησαι". καὶ οἱ
and the merchant for-sixty obols buy and the
μὲν σχολαστικοὶ παραχρῆμα τὸ τίμημα συνεισενεγκόντες
indeed students at-once the price having-contributed
κατέθεντο, ὁ δὲ Ξάνθος ἐκτήσατο. οἱ τοίνυν τελῶναι
paid-down — and Xanthus acquired-him the then tax-collectors
τὴν πρᾶσιν μεμαθηκότες παρῆσαν ἀνακρίνοντες, τίς μὲν
the sale having-learned were-present examining who indeed
ὁ ἀπεμπολήσας, τίς δ' ὁ πριάμενος. αἰσχυνομένων
the-one having-sold who and the-one having-bought being-ashamed
δ' ἀμφοτέρων ἑαυτοὺς ἀνειπεῖν διὰ τὸ πενιχρὸν τοῦ
and both themselves to-declare because-of the poorness of-the
τιμήματος, Αἴσωπος στὰς εἰς τὸ μέσον ἀνέκραξεν·
price Aesop having-stood into the middle cried-out
„ὁ μὲν πραθείς, ἐγώ· ὁ πριάμενος δ' οὑτοσί, καὶ
the-one indeed sold I the-one having-bought and this-one-here and
ὁ πωλήσας ἐκεινοσί. εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα
the-one having-sold that-one-there if and they are-silent I then
ἐλεύθερός εἰμι". οἱ δὲ τελῶναι διαχυθέντες, ἐχαρίσαντό
free am the and tax-collectors having-relaxed remitted
τε τῷ Ξάνθῳ τὸ τέλος καὶ ἀπηλλάγησαν.
both — to-Xanthus the tax and departed

Aesop mocks Xanthus for urinating as he walks. Xanthus's wife cannot bear the ugly slave until Aesop shames her with Euripides on bad women. Aesop answers a gardener's question for his master, that the earth is mother to what she grows unbidden and stepmother to what is planted. He boils one lentil for Xanthus's guests, and when Xanthus hides a pig's foot to catch him out, cuts a foot from the fattening pig.

Ὁ μὲν οὖν Αἴσωπος ἠκολούθει πρὸς τὴν οἰκίαν ἀπιόντι τῷ
— indeed then Aesop followed toward the house going-away —
Ξάνθῳ. μεσημβρινοῦ δὲ καύματος ὄντος, ὁ Ξάνθος ἐν τῷ
to-Xanthus of-noon and heat being — Xanthus in the
περιπατεῖν τὸν χιτῶνα ἀνασυράμενος οὔρει. ὅπερ ἰδὼν
to-walk the tunic having-pulled-up urinated which having-seen
Αἴσωπος καὶ τῶν ἱματίων ἐκείνου δραξάμενος ὄπισθεν,
Aesop and the garments his having-seized from-behind
πρὸς ἑαυτὸν εἵλκυσε καί φησι· „τὴν ταχίστην με πώλησον,
to himself dragged and says the quickest me sell
ἐπεὶ δραπετεύσω“. καὶ ὁ Ξάνθος· „ἀνθ' ὅτου“; „ὅτι“ φησίν
since I-will-run-away and — Xanthus for what because he-says
„οὐκ ἂν δυναίμην τοιούτῳ ὑπηρετεῖσθαι δεσπότῃ. εἰ γὰρ
not — I-could to-such to-be-a-servant master if for
σὺ δεσπότης ὢν καὶ μηδένα φοβούμενος, ὅμως ἄνεσιν οὐ
you master being and no-one fearing yet relief not
παρέσχες τῇ φύσει, ἀλλὰ βαδίζων οὐρεῖς, εἰ τύχοι τὸν
gave to-the nature but walking you-urinate if it-should-happen the
δοῦλον ἐμὲ πρός τινα σταλῆναι διακονίαν κἀν τῷ μεταξὺ
slave me to some to-be-sent errand and-in the between
τῆς πορείας τοιόνδε τι ἀπαιτῆσαι τὴν φύσιν, ἀνάγκη
of-the journey such something to-demand the nature necessity
πᾶσα πετόμενόν με ἀποπατεῖν“. καὶ ὁ Ξάνθος· „τοῦτό σε
all flying me to-relieve-myself and — Xanthus this you

θορυβεῖ; τρία κακὰ βουλόμενος διαδρᾶναι βαδίζων οὐρῶ.“
disturbs three evils wishing to-escape walking I-urinate
καὶ ὅς· „ποῖα“; κἀκεῖνος· „ἑστῶτί μοι τὴν μὲν κεφαλὴν
and he what and-he standing to-me the indeed head
κατέκαυσεν ἂν ὁ ἥλιος, τοὺς δὲ πόδας τὸ τῆς γῆς ἔδαφος
would-have-burned — the sun the and feet the of-the earth ground
ὂν ἐκπεπυρωμένον, ἡ δὲ τοῦ οὔρου δριμύτης τὴν ὄσφρησιν
being fired the and of-the urine pungency the smell
ἂν ἐλυμήνατο“. καὶ ὁ Αἴσωπος· „βάδιζε, πέπεικάς με“.
— would-have-spoiled and — Aesop walk you-have-persuaded me
Ἐπεὶ δὲ καὶ τῇ οἰκίᾳ ἐπέστησαν, ὁ Ξάνθος παραγγείλας
when and also at-the house they-arrived — Xanthus having-charged
τῷ Αἰσώπῳ μένειν πρὸ τοῦ πυλῶνος, ἐπειδὴ καθάρειον
— to-Aesop to-wait before the gateway since fastidious
ὂν αὐτῷ τὸ γύναιον ᾔδει καὶ οὐκ ἐχρῆν ἐξαπίνης
being his the wife he-knew and not it-was-fitting suddenly
τοιοῦτον αἶσχος αὐτῇ φανῆναι, πρίν τινα καὶ πρὸς
such ugliness to-her to-appear before something also to
αὐτὴν ἀστείσηται. αὐτὸς δ’ εἰσελθὼν λέγει· „κυρία, οὐκέτι
her he-should-jest he and having-gone-in says lady no-longer
με τοὐντεῦθεν ὀνειδίσεις τῆς θεραπείας, ἧς πρὸς τῶν
me henceforth will-you-reproach for-the service which from the
θεραπαινίδων τῶν σῶν ἀπολαύω. ἤδη γὰρ κἀγὼ παῖδά
maids the your I-enjoy already for I-too a-boy
σοι ἐπριάμην, ἐν ᾧ καὶ ὄψει κάλλος, οἷον οὔπω
for-you bought in whom also you-will-see beauty such-as not-yet
τεθέασαι· ὃς καὶ ἤδη πρὸ τοῦ πυλῶνος ἕστηκε“. κἀκεῖνος
you-have-beheld who also already before the gateway stands and-he
μὲν ταῦτα· αἱ δέ γε θεραπαινίδες ἀληθῆ νομίσασαι τὰ
indeed these-things the but indeed maids true having-thought the-things
λεχθέντα, πρὸς ἀλλήλας οὐκ ἀγεννῶς ἠμφισβήτουν περὶ τοῦ
said to one-another not ignobly disputed about the

τίνι τούτων νυμφίος ὁ νεώνητος ἔσται. τῆς δὲ τοῦ Ξάνθου
to-which of-them bridegroom the newly-bought will-be the and — of-Xanthus
γυναικὸς εἴσω κληθῆναι τὸν νεώνητον κελευσάσης, μία
wife inside to-be-called the newly-bought having-ordered one
τῶν ἄλλων μᾶλλον ὀργῶσα, καὶ ὡς ἀρραβῶνα τὴν κλῆσιν
than-the others more being-eager and as earnest the call
ἁρπάσασα, τὸν νεώνητον ἐκδραμοῦσα ἐκάλει. κἀκείνου
having-snatched the newly-bought having-run-out called and-he
φαμένου „ἰδοὺ ἐγὼ πάρειμι“, ἐκπλαγεῖσα „σύ“ φησίν „εἶ;“
having-said behold I am-here astounded you she-says are
καὶ ὅς· „ναί“. κἀκείνη· „ἀβάσκαντα, μὴ εἰσέλθῃς εἴσω, καὶ
and he yes and-she touch-wood not go-in inside and
πάντες φύγωσι“. καὶ μέντοι καὶ ἄλλης ἐξελθούσης, καὶ ὡς
all flee and indeed also another having-come-out and as
εἶδεν αὐτόν, „παταχθείη σου“ φαμένης „τὸ πρόσωπον“, καὶ
she-saw him may-be-struck your having-said the face and
„δεῦρο εἴσελθε, ἀλλὰ μὴ προσεγγίσῃς μοι“, εἰσελθὼν ἔστη
come-here go-in but not draw-near me having-gone-in he-stood
ἀντικρὺ τῆς δεσποίνης. ἡ δὲ τοῦτον θεασαμένη, τὰς ὄψεις
opposite the mistress she and him having-beheld the eyes
ἀπέστρεψε πρὸς τὸν ἄνδρα, φαμένη· „πόθεν μοι τοῦτο
turned to the husband saying whence for-me this
τὸ τέρας ἤνεγκας; ἔκβαλε αὐτὸν τοῦ προσώπου μου“.
the portent have-you-brought throw-out him from-the face my
κἀκεῖνος· „ἄλις σοι, κυρία, μὴ οὕτω σκῶπτέ μου τὸν
and-he enough for-you lady not so mock my the
νεώνητον“. ἡ δέ· „δῆλος εἶ, Ξάνθε, μισήσας με· ἑτέραν
newly-bought she and clear you-are Xanthus having-hated me another
γὰρ ἀγαγέσθαι βουλόμενος καὶ ἴσως αἰδούμενος φράσαι
for to-marry wishing and perhaps ashamed to-tell
μοι, ὡς τῆς σῆς οἰκίας ἀναχωρήσω, τὸν κυνοκέφαλόν
me so-that from-the your house I-will-withdraw the dog-headed

μοι τοῦτον κεκόμικας, ὡς ἂν τὴν αὐτοῦ δυσανασχετοῦσα
for-me this you-have-brought so-that — the his chafing-at
λατρείαν φύγω. δός μοι τὴν προῖκά μου καὶ πορεύσομαι".
service I-may-flee give me the dowry my and I-will-go
πρὸς ταῦτα τοῦ Ξάνθου μεμψαμένου τὸν Αἴσωπον, ὡς
at these-things — Xanthus having-blamed — Aesop that
κατὰ μὲν τὴν ὁδὸν ἀστεῖά τινα φθεγξαμένου περὶ τῆς ἐν
on indeed the road witty some having-uttered about the in
τῷ βαδίζειν οὐρήσεως, νυνὶ δὲ πρὸς τὴν γυναῖκα μηδὲν
the to-walk urinating now but to the wife nothing
λέγοντος, Αἴσωπος ἔφη· „βάλε αὐτὴν εἰς τὸ βάραθρον."
saying Aesop said throw her into the pit
καὶ ὁ Ξάνθος· „παῦε, κάθαρμα· ἦ οὐκ οἶσθ' ὅτι
and — Xanthus stop scum truly not do-you-know that
ταύτην ὡς ἐμαυτὸν στέργω"; καὶ ὁ Αἴσωπος· „ἐρᾷς
her as myself I-cherish and — Aesop do-you-love
τοῦ γυναίου"; κἀκεῖνος· „πάνυ μὲν οὖν, δραπέτα". καὶ
the wife and-he very indeed then runaway and
πρὸς τοῦτο ὁ Αἴσωπος κροτήσας εἰς τὸ μέσον τὸν πόδα,
at this — Aesop having-stamped into the middle the foot
μεγάλως ἔκραξε· „Ξάνθος ὁ φιλόσοφος γυναικοκρατεῖται".
loudly cried Xanthus the philosopher is-ruled-by-a-woman
καὶ στραφεὶς πρὸς τὴν αὐτοῦ δέσποιναν ἔφη· „σύ, ὦ
and having-turned to the his-own mistress said you O
δέσποινα, ἐβούλου τὸν φιλόσοφον ὠνήσασθαί σοι δοῦλον
mistress wished the philosopher to-buy for-you a-slave
νέον, εὐσωματοῦντα, σφριγῶντα, ὃν ἔδει γυμνήν σε
young well-bodied lusty whom it-was-needful naked you
κἂν τῷ βαλανείῳ θεᾶσθαι, καί σοι προσπαίζειν τὰ
even-in the bath to-behold and with-you to-play the-things
εἰς αἰσχύνην τοῦ φιλοσόφου; Εὐριπίδη, χρυσοῦν ἐγώ σου
for shame of-the philosopher Euripides golden I your

φημὶ τὸ στόμα, τοιαῦτα λέγον· πολλαὶ μὲν ὀργαὶ κυμάτων
call the mouth such-things saying many indeed the-rages of-waves
θαλαττίων, πολλαὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί,
of-the-sea many and of-rivers and of-fire hot blasts
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία, πλὴν οὐδὲν οὕτω
terrible and poverty terrible and other-things countless but nothing so
δεινὸν, ὡς γυνὴ κακή. σὺ δ' ὦ δέσποινα, φιλοσόφου γυνὴ
terrible as a-woman evil you but O mistress of-a-philosopher wife
οὖσα, ὑπὸ καλῶν νεανίσκων ὑπηρετεῖσθαι μὴ θέλε, μή πως
being by fair young-men to-be-served not wish lest somehow
ὕβριν τῷ ἀνδρί σου προστρίψῃς". ἡ δὲ ταῦτα ἀκούσασα
outrage to-the husband your you-may-rub-on she and these-things having-heard
καὶ πρὸς μηδὲν ἀντειπεῖν δυνηθεῖσα, „πόθεν, ἄνερ", φησί „τὸ
and against nothing to-reply having-been-able whence husband she-says the
κάλλος τοῦτο τεθήρακας; ἀλλὰ καὶ λάλος ὁ σαπρὸς οὗτος
beauty this have-you-hunted but also talkative the rotten this-one
φαίνεται καὶ εὐτράπελος. διαλλαγήσομαι τοίνυν αὐτῷ". καὶ
appears and witty I-will-be-reconciled then to-him and
ὁ Ξάνθος· „Αἴσωπε, διήλλακταί σοι ἡ σὴ δέσποινα".
— Xanthus Aesop is-reconciled to-you the your mistress
καὶ ὁ Αἴσωπος εἰρωνευσάμενος „μέγα τι χρῆμα" φησί
and — Aesop having-dissembled great a thing he-says
„τὸ πραῦναι γυναῖκα". καὶ ὁ Ξάνθος· „σιώπα τοὐντεῦθεν·
the to-soothe a-woman and — Xanthus be-silent henceforth
ὠνησάμην γάρ σε εἰς δουλείαν, οὐκ εἰς ἀντιλογίαν".
I-bought for you for slavery not for contradiction
Τῇ δ' ὑστεραίᾳ ὁ Ξάνθος ἕπεσθαι τῷ Αἰσώπῳ κελεύσας,
on-the and next-day — Xanthus to-follow — to-Aesop having-ordered
πρός τινα τῶν κήπων ἦκεν ὠνησόμενος λάχανα. τοῦ
to one of-the gardens came going-to-buy vegetables the
δὲ κηπωροῦ δέσμην λαχάνων θερίσαντος, ἀνείληφεν
and gardener a-bundle of-vegetables having-cut took-up

Αἴσωπος. τοῦ δὲ Ξάνθου μέλλοντος ἤδη τῷ κηπωρῷ
Aesop — and Xanthus being-about already to-the gardener
καταβάλλειν τὸ κέρμα, ὁ κηπωρός „ἔα κύριε", φησίν „ἑνὸς
to-pay-down the coin the gardener let-be lord he-says one
προβλήματος παρὰ σοῦ δέομαι". καὶ ὁ Ξάνθος· „τίνος";
problem from you I-ask and — Xanthus what
καὶ ὅς· „τί δή ποτε τὰ μὲν παρ' ἐμοῦ φυτευόμενα τῶν
and he why indeed ever the indeed by me planted of-the
λαχάνων, καίπερ ἐπιμελῶς σκαλιζόμενά τε καὶ ἀρδευόμενα,
vegetables although carefully hoed both and watered
βραδεῖαν ὅμως ποιεῖται τὴν αὔξησιν· οἷς δ' αὐτομάτη ἐκ
slow yet make the growth to-those but spontaneous from
γῆς ἡ ἀνάδοσις, καίτοι μηδεμιᾶς ἐπιμελείας ἀξιουμένοις,
earth the sprouting although no care deemed-worthy
τούτοις ὀξυτέρα ἡ βλάστησις"; ὁ μὲν οὖν Ξάνθος, καίτοι
to-these sharper the shooting — indeed then Xanthus although
φιλοσόφου τῆς ζητήσεως οὔσης, μηδὲν ἕτερον συννοήσας
of-a-philosopher the inquiry being nothing other having-thought-of
εἰπεῖν, τῇ θείᾳ προνοίᾳ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις
to-say by-the divine providence also this besides the others
διοικεῖσθαί φησιν. ὁ δὲ Αἴσωπος, παρῆν γάρ, ἐγέλασε.
to-be-managed says — but Aesop was-present for laughed
καὶ πρὸς αὐτὸν ὁ φιλόσοφος· „πότερον γελᾷς ἢ
and to him the philosopher whether do-you-laugh or
καταγελᾷς"; καὶ ὁ Αἴσωπος „καταγελῶ", φησίν „ἀλλ' οὐ
laugh-at and — Aesop I-laugh-at he-says but not
σοῦ, τοῦ δὲ διδάξαντός σε. ἃ γὰρ ὑπὸ θείας προνοίας
you the-one but having-taught you what for by divine providence
γίνεται, ταῦθ' ὑπὸ σοφῶν ἀνδρῶν τυγχάνει τῆς λύσεως.
comes-about these-things by wise men attain the solution
προβαλοῦ τοίνυν ἐμέ, κἀγὼ λύσω τὸ πρόβλημα". ἐν
put-forward then to-me and-I will-solve the problem in

τούτῳ τοίνυν ὁ Ξάνθος ἐπιστραφεὶς λέγει τῷ κηπωρῷ·
this then — Xanthus having-turned says to-the gardener
„ἥκιστα πάντων εὐπρεπές ἐστιν, ὦ τᾶν, ἐμὲ τὸν ἐν
least of-all fitting is O good-sir me the-one in
τοσούτοις ἀκροατηρίοις διαλεχθέντα τὰ νῦν ἐν κήπῳ λύειν
so-many lecture-halls having-discoursed the now in a-garden to-solve
σοφίσματα. παῖς δέ μοι οὑτοσὶ πολλῶν πεῖραν ἔχων
sophisms boy and to-me this-here of-many experience having
ἀκολουθεῖ· τούτῳ προσαναθέμενος, τῆς λύσεως τεύξῃ
follows to-him having-referred-it of-the solution you-will-attain
τοῦ ζητουμένου“. καὶ ὁ κηπωρός· „οὗτος ὁ αἰσχρὸς
of-the thing-sought and the gardener this the ugly-one
γράμματα οἶδεν; οἴμοι τῆς δυστυχίας. ἀλλὰ φράσον, ὦ
letters knows alas the misfortune but tell O
λῷστε, εἰ τοῦ ζητουμένου τὴν διασάφησιν ἔγνωκας“.
best-one if of-the thing-sought the explanation you-have-known
καὶ ὁ Αἴσωπος „ἡ γυνή“ φησίν „ἐπειδὰν πρὸς δεύτερον
and — Aesop the woman he-says when to a-second
γάμον ἔλθῃ, τέκνα ἐκ τοῦ πρώτου ἀνδρὸς ἔχουσα,
marriage she-comes children from the first husband having
εἴπερ εὕροι καὶ τὸν ἄνδρα ἐκ τῆς προτέρας γυναικὸς
if-indeed she-find also the husband from the former wife
τεκνοποιησάμενον, ἃ μὲν αὐτὴ ἐπηγάγετο, τούτων μήτηρ
having-begotten-children what indeed she brought of-these mother
ἐστίν, ἃ δ’ εὗρεν ἐν τῷ ἀνδρὶ, τούτων ἐστὶ μητρυιά.
she-is what but she-found in the husband of-these she-is stepmother
πολλὴν οὖν ἐν ἑκατέροις ἐνδείκνυται τὴν διαφοράν. τὰ
great then in each she-displays the difference the
μὲν γὰρ ἐξ αὐτῆς φιλοστόργως καὶ ἐπιμελῶς τρέφουσα
indeed for from her affectionately and carefully nurturing
διαγίνεται, τὰ δ’ ἐξ ἀλλοτρίων ὠδίνων μισεῖ, καὶ
she-continues the but from others’ labors she-hates and

ζηλοτυπίᾳ χρωμένη, τὴν ἐκείνων τροφὴν περικόπτουσα,
with-jealousy using the their food cutting-off
τοῖς ἑαυτῆς προστίθεται τέκνοις. τὰ μὲν γὰρ φύσει ὡς
to-the her-own adds children the indeed for by-nature as
οἰκεῖα φιλεῖ, ἀποστέργει δὲ τὰ τοῦ ἀνδρὸς ὡς ἀλλότρια.
own she-loves rejects and the of-the husband as others'
τὸν ἴσον δὴ καὶ ἡ γῆ τρόπον τῶν μὲν αὐτομάτως
the equal indeed also the earth way of-the-things indeed spontaneously
ἐξ αὐτῆς φυομένων μήτηρ ἐστίν· ἃ δ' αὐτὸς ἐμφυτεύεις,
from her growing mother is what but you plant
τούτων γίνεται μητρυιά. οὗ χάριν καὶ μᾶλλον ὡς
of-these she-becomes stepmother for-which sake also rather as
γνήσια τὰ οἰκεῖα τρέφει καὶ θάλπει, τοῖς δὲ παρὰ σοῦ
legitimate the own she-feeds and warms to-the but by you
φυτευομένοις οὐ τοσαύτην ὡς νόθοις τὴν τροφὴν νέμει".
planted not so-much as bastards the food distributes
ἐπὶ τούτοις ἡσθεὶς ὁ κηπωρός „πιστεύσαις ἄν μοι",
at these delighted the gardener you-would-believe — me
φησίν „ὅτι με ἀμηχάνου λύπης καὶ ἀδολεσχίας ἐκούφισας.
he-says that me from-helpless grief and idle-talk you-relieved
ἄπιθι προῖκα φέρων τὰ λάχανα, καὶ ὁσάκις σοι τούτων
go-away free carrying the vegetables and as-often-as to-you of-these
δεῖ, ὡς εἰς οἰκεῖον κῆπον βαδίζων λάμβανε".
there-is-need as into own garden walking take
Μεθ' ἡμέρας πάλιν εἰς τὸ βαλανεῖον ἐλθόντος τοῦ Ξάνθου
after days again into the bath having-come — Xanthus
καί τισιν ἐντυχόντος ἐκεῖ τῶν φίλων, καὶ πρὸς τὸν
and some having-met there of-the friends and to —
Αἴσωπον εἰρηκότος εἴς τε τὴν οἰκίαν προδραμεῖν καὶ φακῆν
Aesop having-said both into the house to-run-ahead and lentil
εἰς τὴν χύτραν ἐμβαλόντα ἑψῆσαι, ἐκεῖνος ἀπελθὼν
into the pot having-put to-boil he having-gone-away

κόκκον ἕνα φακῆς εἰς τὴν χύτραν ἕψει βαλών. ὁ δὲ δὴ
grain one of-lentil into the pot boils having-put — and indeed
Ξάνθος ἅμα τοῖς φίλοις λουσάμενος, ἐκάλει τούτους
Xanthus together-with the friends having-bathed invited them
συναριστήσοντας. προεῖπε μέντοι καὶ ὡς λιτῶς, ἐπὶ φακῇ
to-breakfast-with-him said-beforehand however also that frugally on lentil
γὰρ ἔσται τὸ δεῖπνον, καὶ ὡς μὴ δεῖ τῇ ποικιλίᾳ
for will-be the dinner and that not it-is-needful by-the variety
τῶν ἐδεσμάτων τοὺς φίλους κρίνειν, ἀλλὰ δοκιμάζειν
of-the foods the friends to-judge but to-test
τὴν προθυμίαν. τῶν δὲ εἰξάντων καὶ πρὸς τὴν οἰκίαν
the goodwill they and having-yielded and to the house
ἀφικομένων, ὁ Ξάνθος φησί· „δὸς ἡμῖν ἀπὸ λουτροῦ πιεῖν,
having-arrived — Xanthus says give us from bath to-drink
Αἴσωπε“. τοῦ δ’ ἐκ τῆς ἀπορροίας τοῦ λουτροῦ λαβόντος
Aesop he and from the outflow of-the bath having-taken
καὶ ἐπιδεδωκότος, ὁ Ξάνθος τῆς δυσωδίας ἀναπλησθείς,
and having-handed(-it) — Xanthus with-the stench filled
„φεῦ, τί τοῦτο“, φησίν „Αἴσωπε“; καὶ ὅς· „ἀπὸ λουτροῦ,
alas what this he-says Aesop and he from bath
ὡς ἐκέλευσας“. τοῦ δὲ Ξάνθου τῇ παρουσίᾳ τῶν φίλων
as you-ordered — and Xanthus by-the presence of-the friends
τὴν ὀργὴν ἐπισχόντος καὶ λεκάνην αὐτῷ παρατεθῆναι
the anger having-restrained and a-basin to-him to-be-set-beside
κελεύσαντος, Αἴσωπος τὴν λεκάνην θεὶς ἵστατο. καὶ ὁ
having-ordered Aesop the basin having-placed stood and —
Ξάνθος· „οὐ νίπτεις“; κἀκεῖνος· „ἐντέταλταί μοι ταῦτα
Xanthus not do-you-wash and-he it-has-been-enjoined on-me these-things
μόνα ποιεῖν, ὅσα ἂν ἐπιτάξῃς. σὺ δὲ νῦν οὐκ εἶπας·
only to-do whatever — you-order you but now not said
Βάλε ὕδωρ εἰς τὴν λεκάνην καὶ νίψον τοὺς πόδας μου, καὶ
put water into the basin and wash the feet my and

θὲς τὰς ἐμβάδας, καὶ ὅσα ἐφεξῆς". πρὸς δὴ ταῦτα
put the slippers and what-things next at indeed these-things
τοῖς φίλοις ὁ Ξάνθος ἔφη· „μὴ γὰρ δοῦλον ἐπριάμην; οὐκ
to-the friends — Xanthus said not for a-slave did-I-buy not
ἔστιν ὅπως· ἀλλὰ διδάσκαλον". ἀνακλιθέντων τοίνυν αὐτῶν
it-is how but a-teacher having-reclined then they
καὶ τοῦ Ξάνθου τὸν Αἴσωπον ἐρωτήσαντος, εἰ ἕψηται ἡ
and — Xanthus — Aesop having-asked if is-boiled the
φακῆ, δοίδυκι λαβὼν ἐκεῖνος τὸν τῆς φακῆς κόκκον
lentil with-a-ladle having-taken he the of-the lentil grain
ἀνέδωκεν. ὁ δὲ Ξάνθος λαβὼν καὶ οἰηθεὶς ἕνεκεν
handed-up — and Xanthus having-taken and having-thought for-the-sake
τοῦ πεῖραν λαβεῖν τῆς ἑψήσεως τὴν φακῆν δέξασθαι,
of-the trial to-take of-the boiling the lentil to-have-received
τοῖς δακτύλοις διατρίψας ἔφη· „καλῶς ἕψηται· κόμισον".
with-the fingers having-rubbed said well it-is-boiled bring-it
τοῦ δὲ μόνον τὸ ὕδωρ κενώσαντος ἐν τοῖς τρυβλίοις καὶ
he and only the water having-emptied into the bowls and
παραθέντος, ὁ Ξάνθος „ποῦ ἐστιν ἡ φακῆ";
having-set-beside — Xanthus where is the lentil
φησί. καὶ ὅς· „ἔλαβες αὐτήν". καὶ ὁ Ξάνθος· „ἕνα κόκκον
says and he you-took it and — Xanthus one grain
ἕψησας"; καὶ ὁ Αἴσωπος· „μάλιστα. φακῆν γὰρ ἑνικῶς
did-you-boil and — Aesop certainly lentil for in-the-singular
εἶπας, ἀλλ' οὐ φακᾶς, ὃ δὴ πληθυντικῶς λέγεται". ὁ
you-said but not lentils which indeed in-the-plural is-said —
μὲν οὖν Ξάνθος ἀπορήσας τοῖς ὅλοις, „ἄνδρες ἑταῖροι",
indeed then Xanthus at-a-loss in-the whole men comrades
φησίν „οὗτος εἰς μανίαν με περιτρέψει". εἶτα στραφεὶς
he-says this-one into madness me will-turn then having-turned
πρὸς τὸν Αἴσωπον, εἶπεν· „ἀλλ' ἵνα μὴ δόξω, κακὲ
to — Aesop he-said but that not I-may-seem bad

δοῦλε, τοῖς φίλοις ἐνυβρίζειν, ἀπελθὼν ὤνησαι πόδας
slave the friends to-insult having-gone-away buy feet
χοιρείους τέτταρας, καὶ διὰ ταχέων ἑψήσας παράθες“.
pig's four and through speed having-boiled set-beside
τοῦ δὲ σπουδῇ τοῦτο ποιήσαντος καὶ τῶν ποδῶν ἑψομένων,
he and with-haste this having-done and the feet being-boiled
ὁ Ξάνθος εὐλόγως θέλων τύψαι τὸν Αἴσωπον, αὐτοῦ περί
— Xanthus with-good-reason wishing to-beat — Aesop he about
τι τῶν εἰς χρείαν ἀσχολουμένου, ἕνα τῶν ποδῶν ἐκ
something of-the-things for need being-busy one of-the feet from
τῆς χύτρας λαθραίως ἀνελόμενος ἔκρυψε. μετὰ μικρὸν δὲ
the pot secretly having-taken-up hid after a-little and
καὶ ὁ Αἴσωπος ἐλθὼν καὶ τὴν χύτραν ἐπισκεψάμενος, ὡς
also — Aesop having-come and the pot having-inspected as
τοὺς τρεῖς μόνον πόδας ἑώρακε, συνῆκεν ἐπιβουλὴν αὐτῷ
the three only feet he-saw understood a-plot against-him
τινα γεγονυῖαν. καὶ δὴ καταδραμὼν ἐπὶ τὴν αὐλὴν καὶ
some having-been-made and indeed having-run-down to the court and
τοῦ σιτευομένου χοίρου τὸν ἕνα τῶν ποδῶν τῇ μαχαίρᾳ
of-the fattening pig the one of-the feet with-the knife
περιελὼν καὶ τῶν τριχῶν ψιλώσας, εἰς τὴν χύτραν
having-cut-off and of-the bristles having-stripped into the pot
ἔρριψε καὶ συνέψει τοῖς ἄλλοις. Ξάνθος δὲ δείσας, μή
threw and boiled-it-with the others Xanthus and having-feared lest
πως Αἴσωπος τὸν ὑφαιρεθέντα τῶν ποδῶν οὐχ εὑρὼν
somehow Aesop the stolen of-the feet not having-found
ἀποδράσῃ, αὖθις εἰς τὴν χύτραν αὐτὸν ἐνέβαλε. τοῦ δ’
may-run-away again into the pot it put-in — and
Αἰσώπου τοὺς πόδας εἰς τὸ τρυβλίον κενώσαντος καὶ πέντε
Aesop the feet into the bowl having-emptied and five
τούτων ἀναφανέντων, ὁ Ξάνθος „τί τοῦτο“, φησίν „Αἴσωπε;
of-them having-appeared — Xanthus what this he-says Aesop

πῶς πέντε“; κἀκεῖνος· „τὼ δύο χοίρω πόσους ἔχετον πόδας“;
how five and-he the two pigs how-many have feet
καὶ ὁ Ξάνθος· „ὀκτώ“. καὶ ὁ Αἴσωπος· „εἰσὶν οὖν ἐνταυθὶ
and — Xanthus eight and — Aesop are then here
πέντε, καὶ ὁ σιτευόμενος χοῖρος νέμεται κάτω τρίπους“.
five and the fattening pig grazes below three-footed
καὶ ὁ Ξάνθος πάνυ βαρέως σχὼν πρὸς τοὺς φίλους
and — Xanthus very heavily having-taken-it to the friends
φησίν· „οὐχὶ μικρῷ πρόσθεν εἶπον, ὡς τάχιστά με πρὸς
says not a-little before I-said that most-quickly me to
μανίαν οὗτος δὴ περιτρέψει“; καὶ ὁ Αἴσωπος· „δέσποτα,
madness this-one indeed will-turn and — Aesop master
οὐκ οἶσθ᾽ ὅτι τὸ ἐκ προσθέσεως τε καὶ ἀφαιρέσεως
not do-you-know that the from addition both and subtraction
εἰς τὸ κατὰ λόγον ποσὸν συγκεφαλαιούμενον, οὐκ ἔστιν
into the according-to reason sum summed-up not is
ἁμάρτημα“; ὁ μὲν οὖν Ξάνθος μηδεμίαν εὐπρόσωπον
a-fault — indeed then Xanthus no plausible
αἰτίαν εὑρηκὼς μαστιγῶσαι τὸν Αἴσωπον, ἡσύχασε.
cause having-found to-scourge — Aesop kept-quiet

Told to take dainties to the one who loves Xanthus, Aesop gives them to the dog; the wife leaves, and he wins her back with a false wedding. Bidden to buy the best and then the worst, he buys tongues both times, the best and worst of things. He finds an unmeddlesome man and sees one man at the bath. When Xanthus wagers his house that he can drink the sea, Aesop saves him: let his opponent first stop the rivers. Refused his freedom, he is beaten over two crows until his retort stops it.

Τῇ δ' ὑστεραίᾳ τῶν σχολαστικῶν τις πολυτελὲς
on-the and next-day of-the students one costly
εὐτρεπίσας δεῖπνον, σὺν ἄλλοις σχολαστικοῖς καὶ τὸν
having-prepared dinner with other students also —
Ξάνθον κέκληκεν. εὐωχουμένων τοίνυν, ὁ Ξάνθος μερίδας
Xanthus invited feasting then — Xanthus portions
ἐκ τῶν παρακειμένων ἀνελόμενος ἐπιλέκτους καὶ τῷ
from the-things set-beside having-taken choice and —
Αἰσώπῳ ὄπισθεν ἐφεστῶτι δούς, „τῇ εὐνοούσῃ
to-Aesop behind standing having-given to-the-one being-well-disposed
μοι" φησὶ πρὸς αὐτόν „ταῦτα ἐπίδος ἀπελθών". ὃ δ'
to-me he-says to him these-things give having-gone-away he and
ἀπιὼν καθ' ἑαυτὸν ἐνενόει· „νῦν καιρὸς τίσασθαί μου τὴν
going-away by himself thought now the-time to-punish my the
δέσποιναν, ἀνθ' ὧν με ἡνίκα νεώνητος ἦλθον ἔσκωπτεν.
mistress for which me when newly-bought I-came she-mocked
ὄψεται τοίνυν τίς τῷ δεσπότῃ μου εὐνοεῖ." ἀφικόμενος
she-will-see then who to-the master my is-well-disposed having-arrived
οὖν εἰς τὴν οἰκίαν καὶ καθίσας ἐν τῷ προδόμῳ καὶ τὴν
then into the house and having-sat in the porch and the
δέσποιναν ἐκκαλέσας, τὴν σπυρίδα τῶν μερίδων ἐπίπροσθεν
mistress having-called-out the basket of-the portions before
αὐτῆς τέθεικε καί φησι· „δέσποινα, ταῦτα πάντα ὁ
her he-placed and says mistress these-things all the

δεσπότης πέπομφεν οὐ σοί, ἀλλὰ τῇ εὐνοούσῃ“.
master has-sent not to-you but to-the-one being-well-disposed
καὶ τὴν κύνα καλέσας καὶ εἰπών „ἐλθέ, λύκαινα, φάγε,
and the bitch having-called and having-said come she-wolf eat
σοὶ γὰρ ὁ δεσπότης δοθῆναι ταῦτα ἐπέταξεν“, ἀνὰ
to-you for the master to-be-given these-things ordered by
μέρος τῇ κυνὶ πάντα παρέβαλε. μετὰ δὲ τοῦτο πρὸς
piece to-the bitch all threw after and this to
τὸν δεσπότην πάλιν ἐλθὼν καὶ ἐρωτηθεὶς εἰ τῇ
the master again having-come and having-been-asked if to-the-one
εὐνοούσῃ δέδωκε πάντα, „πάντα“, φησί, „καὶ ἐνώπιον
being-well-disposed he-gave all all he-says and before
ἐμοῦ πάντα κατέφαγε“. τοῦ δὲ ἐπανερομένου „καὶ τί
me all she-ate-up he and having-asked-again and what
ποτε ἄρα ἐσθίουσα ἔλεγεν“; ἐκεῖνος· „ἐμοὶ μέν“ φησίν
ever then eating said he to-me indeed he-says
„οὐδ’ ὁτιοῦν εἴρηκε, καθ’ ἑαυτὴν δέ σοι χάριτας ᾔδει“. ἡ
not-even anything she-said by herself and to-you thanks knew the
μέντοι γυνὴ τοῦ Ξάνθου συμφορὰν τὸ πρᾶγμα ποιησαμένη
however wife — of-Xanthus a-calamity the thing having-made
ἅτε δὴ δευτέρα τῆς κυνὸς ἐλεγχθεῖσα τῇ πρὸς τὸν
as indeed second to-the bitch shown-to-be in-the toward the
ἄνδρα εὐνοίᾳ, καὶ ἐπειποῦσα ἢ μὴν μηκέτι τοῦ λοιποῦ
husband goodwill and having-sworn truly indeed no-longer for-the future
συνοικήσειν αὐτῷ, εἴσω παρελθοῦσα τοῦ κοιτῶνος ἐθρήνει.
to-live-with him inside having-passed of-the bedchamber lamented
τοῦ δὲ πότου προκόπτοντος καὶ ζητημάτων πρὸς ἀλλήλους
the and drinking advancing and questions to one-another
προτεινομένων, καὶ ἑνὸς αὐτῶν ἀπορήσαντος πηνίκα ἂν
being-put-forward and one of-them having-been-at-a-loss when —
γένοιτο μεγάλη ἐν ἀνθρώποις ἀνάγκη, Αἴσωπος ὄπισθεν
may-be great among men necessity Aesop behind

ἑστὼς εἶπεν· „ἡνίκα ἂν οἱ νεκροὶ ἀνιστάμενοι τὰ ἑαυτῶν
standing said when — the dead rising-up the their-own
ἀπαιτήσωσι κτήματα“. καὶ οἱ σχολαστικοὶ γελάσαντες
demand-back possessions and the students having-laughed
ἔφασαν· „νοήμων ἐστὶν ὁ νεώνητος“. ἑτέρου δὲ πάλιν
said intelligent is the newly-bought another and again
τοιόνδε τι προθέντος, ὅτου χάριν τὸ μὲν πρόβατον
such something having-put-forward of-what sake the indeed sheep
ἐπὶ σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος ὅτι μάλιστα
to slaughter being-dragged not cries the but pig the-very most
κράζει, Αἴσωπος αὖθις ἔφη ὅτι „τὸ μὲν πρόβατον
shrieks Aesop again said that the indeed sheep
κατὰ τὸ εἰωθὸς ἀμελγόμενον ἢ τὸ τοῦ πόκου βάρος
according-to the custom being-milked or the of-the fleece weight
ἀποτιθέμενον, σιγῇ ἕπεται· διὸ καὶ ὑποσκελιζόμενον
putting-off in-silence follows wherefore also being-tripped
καὶ τὸν σίδηρον ὁρῶν, οὐδὲν δεινὸν ὑποπτεύει, ἀλλ᾽ ἐκεῖνα
and the iron seeing nothing terrible suspects but those
τὰ συνήθη καὶ μόνα δοκεῖ πείσεσθαι.
the customary-things and only thinks to-suffer
ὁ δὲ χοῖρος ἅτε δὴ μήτ᾽ ἀμελγόμενος μήτε κειρόμενος
the but pig as indeed neither being-milked nor being-shorn
μηδὲ συνειδὼς ἑαυτῷ πρός τι τῶν τοιούτων ἑλκόμενος,
nor being-conscious-in himself for any of-the such-things being-dragged
ἀλλ᾽ ὅτι τῶν σαρκῶν αὐτοῦ μόνον ἐστὶ χρεία, εἰκότως
but that of-the flesh his only is need rightly
βοᾷ“. τούτων οὕτω ῥηθέντων, οἱ σχολαστικοὶ πάλιν
cries these-things so having-been-said the students again
ἐπῄνεσαν αὐτόν, τραπέντες εἰς γέλωτα. παυσαμένου
praised him having-turned to laughter having-stopped
μέντοι τοῦ πότου καὶ τοῦ Ξάνθου πρὸς τὴν οἰκίαν
however the drinking and — Xanthus to the house

ἀπονοστήσαντος, καὶ τῇ γυναικὶ συνήθως ὁρμήσαντος
having-returned and to-the wife as-usual having-set-out
προσλαλεῖν, ἐκείνη τοῦτον ἀποστραφεῖσά φησι· „μή μου
to-address she him having-turned-from says not me
πλησίον γένῃ. δός μοι τὴν προῖκα καὶ ἀπελεύσομαι. οὐδὲ
near be give me the dowry and I-will-go-away not-even
γὰρ ἂν μείναιμι σὺν σοὶ τοὐντεῦθεν. σὺ δ' ἀπελθὼν
for — would-I-stay with you henceforth you and having-gone-away
τὴν κύνα κολάκευε, ᾗ πέπομφας τὰς μερίδας". καὶ ὁ
the bitch flatter to-whom you-have-sent the portions and —
Ξάνθος ἐκπλαγεὶς λέγει· „οὐκ ἔστιν ὅπως οὐκ ἤρτυσέ
Xanthus astounded says not it-is how not has-cooked-up
μοί τι κακὸν πάλιν Αἴσωπος". καὶ πρὸς τὴν γυναῖκά
for-me some evil again Aesop and to the wife
φησι· „κυρία, ἐμοῦ πεπωκότος σὺ μεθύεις; τίνι τὰς
says lady I having-drunk you are-drunk to-whom the
μερίδας πέπομφα, οὐχὶ σοί"; „μὰ Δί', ἐμοὶ μὲν οὔ", φησὶν
portions have-I-sent not to-you by Zeus to-me indeed not says
ἐκείνη „τῇ δὲ κυνί". καὶ ὁ Ξάνθος τῷ Αἰσώπῳ κληθέντι
she to-the but bitch and — Xanthus — to-Aesop called
φησί· „τίνι δέδωκας τὰς μερίδας"; κἀκεῖνος· „τῇ
says to-whom have-you-given the portions and-he to-the-one
εὐνοούσῃ σοι". καὶ πρὸς τὴν γυναῖκα ὁ Ξάνθος· „οὐδὲν
being-well-disposed to-you and to the wife — Xanthus nothing
ἔλαβες"; κἀκείνη· „οὐδέν". καὶ ὁ Αἴσωπος· „τίνι γὰρ
did-you-get and-she nothing and — Aesop to-whom for
ἐκέλευσας τὰς μερίδας δοθῆναι, ὦ δέσποτα"; κἀκεῖνος·
did-you-order the portions to-be-given O master and-he
„τῇ εὐνοούσῃ μοι". καὶ ὁ Αἴσωπος τὴν κύνα
to-the-one being-well-disposed to-me and — Aesop the bitch
φωνήσας, „αὕτη σοι" φησίν „εὐνοεῖ. ἡ γὰρ γυνὴ κἂν
having-called this-one to-you he-says is-well-disposed the for wife even-if

εὐνοεῖν λέγῃ, ἀλλ᾽ ἐπ᾽ ἐλαχίστῳ ἀλγήσασα ἀντιλέγει,
to-be-well-disposed she-say but at very-little having-been-pained contradicts
λοιδορεῖται, ἀναχωρεῖ· τὴν μέντοι κύνα τύψον, ἀπέλασον,
reviles withdraws the however bitch beat drive-away
καὶ οὐκ ἀναχωρήσειεν ἄν, ἀλλ᾽ ἐπιλαθομένη πάντων, αὐτίκα
and not she-would-withdraw — but having-forgotten all at-once
φιλοφρόνως σαίνει καὶ σὺν χάριτι τὸν δεσπότην. ἔδει
affectionately fawns and with grace the master it-was-needful
σε οὖν εἰπεῖν, δέσποτα, τῇ γυναικὶ τὰς μερίδας κομίσαι,
you then to-say master to-the wife the portions to-bring
καὶ μὴ τῇ εὐνοούσῃ.“ καὶ ὁ Ξάνθος· „ὁρᾷς, ὦ κυρία,
and not to-the-one being-well-disposed and — Xanthus you-see O lady
ὡς οὐκ ἐμὸν τὸ ἁμάρτημα, ἀλλὰ τοῦ κομίσαντος;
that not mine the fault but of-the-one having-brought
ἀνάσχου τοιγαροῦν, καὶ οὐκ ἀπορήσω προφάσεως, δι᾽
bear-with therefore and not I-will-lack a-pretext because-of
ἣν αὐτὸν μαστιγώσω“. τῆς δὲ μὴ πειθομένης, ἀλλὰ
which him I-will-scourge she and not being-persuaded but
λάθρα πρὸς τοὺς ἑαυτῆς γονεῖς ἀποχωρησάσης, Αἴσωπος
secretly to the her-own parents having-withdrawn Aesop
εἶπεν· „οὐκ ὀρθῶς εἶπον, ὦ δέσποτα, ὡς ἡ κύων σοι
said not rightly did-I-say O master that the bitch to-you
μᾶλλον εὐνοεῖ, καὶ οὐχ ἡ ἐμὴ δέσποινα;“
more is-well-disposed and not the my mistress
ἡμερῶν δέ τινων παρῳχηκυιῶν, καὶ τῆς γυναικὸς
days and some having-passed and the wife
ἀδιαλλάκτου μενούσης, καὶ τοῦ Ξάνθου τῶν προσηκόντων
irreconcilable remaining and — Xanthus of-the kinsmen
τινὰς ὡς αὐτὴν ὡς ἂν ὑποστρέψειεν οἴκαδε πέμψαντος,
some to her so-that — she-might-return homeward having-sent
τῆς δὲ μὴ ὑπείκειν θελούσης, καὶ τοῦ Ξάνθου δι᾽ αὐτὴν
she and not to-yield wishing and — Xanthus because-of her

εἰς ἀθυμίαν πεσόντος, Αἴσωπος αὐτῷ προσελθών φησι· „μὴ
into despondency having-fallen Aesop to-him having-approached says not
ἀνιῶ, δέσποτα. ἐγὼ γὰρ αὐτὴν αὔριον ἥκειν αὐθαίρετον καὶ
be-grieved master I for her tomorrow to-come of-her-own-accord and
ἀπαράκλητον δράσω πρὸς σέ.“ καὶ λαβὼν κέρμα, πρὸς τὴν
unbidden will-make to you and having-taken a-coin to the
ἀγορὰν ἦλθε, καὶ ὠνησάμενος χῆνας καὶ ὄρνιθας καὶ ἄλλ᾽
marketplace came and having-bought geese and fowls and other
ἄττα τῶν πρὸς εὐωχίαν ἐπιτηδείων, βαδίζων τὰς οἰκίας
some of-the-things for feasting suitable walking the houses
περιενόστει. παρῄει τοίνυν καὶ τὴν τῶν τῆς αὐτοῦ δεσποίνης
went-around passed then also the of-the of-the his mistress
γεννητόρων οἰκίαν, μήτε ταύτην εἰδέναι προσποιούμενος
parents house neither this to-know pretending
ἐκείνων τυγχάνουσαν, μήτε μὴν ἐν αὐτῇ τὴν δέσποιναν
theirs being nor indeed in it the mistress
μένουσαν. καὶ δή τινι τῶν τῆς οἰκίας ἐκείνης ἐντυχὼν
staying and indeed one of-those of-the house that having-met
ἠρώτα εἴ τί που τῶν εἰς γάμους χρησίμων οἱ
he-asked if anything somewhere of-the-things for weddings useful those
κατὰ τὴν οἰκίαν ἔχοιεν αὐτῷ πωλῆσαι. τοῦ δὲ „καὶ τίς
in the house might-have to-him to-sell he and and who
τούτων ἔχει τὴν χρείαν;“ πυνθανομένου, „Ξάνθος“ φησίν „ὁ
of-these has the need inquiring Xanthus he-says the
φιλόσοφος· αὔριον γὰρ γυναικὶ μέλλει συνάπτεσθαι.“ τοῦ δὲ
philosopher tomorrow for to-a-wife he-is-about to-be-joined he and
ἀναβάντος καὶ τῇ γυναικὶ ταῦτα τοῦ Ξάνθου ὡς ἤκουσεν
having-gone-up and to-the wife these-things — of-Xanthus as he-heard
ἀναγγείλαντος, ἐκείνη σὺν δρόμῳ καὶ σπουδῇ πρὸς τὸν
having-reported she with running and haste to —
Ξάνθον ἦλθεν αὐτίκα, καὶ αὐτοῦ κατεβόα λέγουσα πρὸς τοῖς
Xanthus came at-once and against-him shouted saying besides the

ἄλλοις καὶ ταῦτα, ὡς „οὐκ ἂν ἐμοῦ ζώσης, ὦ Ξάνθε, ἑτέρᾳ
others also these-things that not — I living O Xanthus to-another
γυναικὶ δυνηθείης συναρμοσθῆναι.“ καὶ οὕτως ἔμεινεν ἐπὶ
woman you-could be-joined and thus she-stayed in
τῆς οἰκίας δι’ Αἰσώπου, ὡς καὶ δι’ ἐκεῖνον ἀπῆρε.
the house through Aesop as also because-of him she-had-departed
Μετὰ δ’ ἡμέρας πάλιν τινὰς καλέσας ὁ Ξάνθος
after and days again some having-invited — Xanthus
σχολαστικοὺς εἰς ἄριστον, τῷ Αἰσώπῳ φησίν· „ὀψώνησον
students to breakfast — to-Aesop says buy-food
ἀπελθὼν πᾶν ὅ τι χρηστότατόν τε καὶ βέλτιστον.“ ὁ
having-gone-away all what any most-useful both and best he
δὲ ἀπιὼν καθ’ ἑαυτὸν ἔλεγεν· „ἐγὼ διδάξω τὸν δεσπότην
and going-away by himself said I will-teach the master
μὴ μωρὰ διατάττεσθαι“. γλώττας οὖν μόνας ὑείους
not foolish-things to-order tongues then only of-swine
πριάμενος καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι γλῶτταν ὀπτὴν
having-bought and having-prepared to-them-reclining a-tongue roasted
ἑκάστῳ σὺν ὀξυγάρῳ παρέθηκε. τῶν δὲ σχολαστικῶν
to-each with sauce set-beside of-the and students
ἐπαινεσάντων ὡς φιλόσοφον τὸ πρῶτον ἔδεσμα διὰ τὴν
having-praised as philosophical the first dish because-of the
τῆς γλώττης πρὸς τὸν λόγον ὑπηρεσίαν, πάλιν Αἴσωπος
of-the tongue toward the speech service again Aesop
ἑφθὰς γλώττας παρέθηκε. καὶ αὖθις αὖ βρώματος
boiled tongues set-beside and again in-turn food
αἰτηθέντος ἄλλου καὶ ἄλλου, ὃ δ’ οὐδὲν ἕτερον ὅτι μὴ
asked-for other and other he but nothing other except —
γλώττας προὐτίθει. τῶν δὲ σχολαστικῶν ἐπὶ τῷ ταὐτῷ
tongues set-before of-the and students at the sameness
τῆς τροφῆς ἀγανακτησάντων καὶ „μέχρι τίνος γλώττας;“
of-the food having-been-vexed and until what tongues

εἰπόντων, καὶ ὡς „ἡμεῖς δι᾽ ἡμέρας γλώττας ἐσθίοντες
having-said and that we through day tongues eating
τὰς ἡμετέρας ἠλγήσαμεν“, ὁ Ξάνθος φησὶ πρὸς ὀργήν·
the our have-been-pained — Xanthus says in anger
„οὐδέν σοι πάρεστιν ἕτερον, Αἴσωπε;“ καὶ ὅς· „οὐ δῆτα“.
nothing to-you is-at-hand other Aesop and he not indeed
κἀκεῖνος· „οὔκουν ἐνετειλάμην σοι, κατάρατον ἀνθρώπιον,
and-he not-then did-I-enjoin you accursed manikin
πᾶν ὅ τι χρηστότατόν τε καὶ ἄριστον ὀψωνῆσαι“; καὶ ὁ
all what any most-useful both and best to-buy and —
Αἴσωπος· „πολλὰς ὁμολογῶ σοι τὰς χάριτας μεμφομένῳ με
Aesop many I-confess to-you the thanks blaming me
φιλοσόφων ἀνδρῶν παρόντων· τί οὖν ἂν γένοιτο γλώττης
philosophical men being-present what then — could-be than-tongue
χρηστότερόν τε καὶ βέλτιον ἐν τῷ βίῳ; πᾶσα γὰρ παιδεία
more-useful both and better in the life all for education
καὶ φιλοσοφία δι᾽ αὐτῆς παιδεύεται καὶ διδάσκεται·
and philosophy through it is-taught and is-instructed
δι᾽ αὐτῆς δόσεις, λήψεις, ἀγοραί, ἀσπασμοί, εὐφημίαι,
through it givings takings markets greetings praises
μοῦσα πᾶσα· δι᾽ αὐτῆς συγκροτοῦνται γάμοι, πόλεις
music all through it are-joined marriages cities
ἀνορθοῦνται, ἄνθρωποι διασώζονται. καὶ συνελόντι φάναι,
are-restored men are-saved and to-one-summing-up to-say
δι᾽ αὐτῆς ἅπας ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν ἄρα
through it all the life our holds-together nothing then
τῆς γλώττης ἄμεινον“. ἐπὶ τούτοις οἱ σχολαστικοὶ τὸν
than-the tongue better at these the students —
μὲν Αἴσωπον ὀρθῶς λέγειν φάμενοι, ἡμαρτηκέναι δὲ τὸν
indeed Aesop rightly to-speak saying to-have-erred but the
διδάσκαλον, διελύθησαν ἕκαστος ἐπ᾽ οἶκου. τῇ δ᾽ ὑστεραίᾳ
teacher dispersed each to home on-the but next-day

πάλιν αἰτιωμένων αὐτῶν τὸν Ξάνθον, ἐκεῖνος ἀπελογεῖτο
again blaming they — Xanthus he defended-himself
μὴ κατὰ γνώμην αὐτοῦ ταῦτα γεγονέναι, ἀλλὰ τοῦ
not according-to judgment his these-things to-have-happened but of-the
ἀχρείου δούλου τῇ κακουργίᾳ. σήμερον δὲ ἀλλ᾽ ἀμείψει
useless slave by-the villainy today and at-least will-change
τὸ δεῖπνον· „κἀγὼ δὴ παρόντων ὑμῶν αὐτῷ διαλέξομαι“.
the dinner and-I indeed being-present you with-him will-converse
καὶ καλέσας αὐτόν, πᾶν ὅ τι φαυλότατόν τε καὶ
and having-called him all what any most-worthless both and
χείριστον ὀψωνῆσαι κελεύει, ὡς τῶν σχολαστικῶν σὺν αὐτῷ
worst to-buy-food orders as the students with him
δειπνησόντων. ὁ δὲ μηδὲν διατραπεὶς πάλιν γλώσσας
going-to-dine he and nothing having-been-abashed again tongues
ἐπρίατο, καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι παρέθηκεν. οἳ δὲ
bought and having-prepared to-them-reclining set-beside they and
πρὸς ἀλλήλους ὑπεφώνουν· „χοίρειαι πάλιν γλῶτται“; καὶ
to one-another murmured pig's again tongues and
μετὰ μικρὸν αὖθις γλώττας παρέθηκε καὶ μάλα αὖθις καὶ
after a-little again tongues he-set-beside and very-much again and
αὖθις. τοῦ Ξάνθου δὲ δυσανασχετήσαντος καὶ „τί τοῦτο,
again — Xanthus and having-been-vexed and what this
Αἴσωπε“; εἰρηκότος, „μὴ πάλιν ἐνετειλάμην σοι πᾶν ὅ
Aesop having-said not again did-I-enjoin you all what
τι χρηστότατόν τε καὶ βέλτιστον ὀψωνῆσαι; οὐχὶ πᾶν ὅ
any most-useful both and best to-buy-food not all what
τι φαυλότατόν τε καὶ χείριστον“; ὁ δέ· „καὶ τί ποτε
any most-worthless both and worst he and and what ever
χεῖρον τῆς γλώττης, ὦ δέσποτα; οὐ πόλεις δι᾽ αὐτῆς
worse than-the tongue O master not cities through it
καταπίπτουσιν; οὐκ ἄνθρωποι δι᾽ αὐτῆς ἀναιροῦνται;
fall not men through it are-killed

οὐ ψεύδη πάντα καὶ βλασφημίαι καὶ ἐπιορκίαι διὰ
not lies all and blasphemies and perjuries through
ταύτης περαίνονται; οὐ γάμοι καὶ ἀρχαὶ καὶ βασιλεῖαι
this are-accomplished not marriages and rules and kingdoms
δι' αὐτῆς ἀνατρέπονται; οὐχ ὡς κεφάλαιον εἰπεῖν, ὁ
through it are-overturned not as in-sum to-say the
βίος δι' αὐτῆς ἅπας μυρίων πλημμελημάτων γέμει;"
life through it all of-countless offenses is-full
ταῦτα τοῦ Αἰσώπου φαμένου, τῶν τις συνανακειμένων
these-things — Aesop saying of-those one reclining-with
τῷ Ξάνθῳ φησίν· „οὗτος, εἰ μὴ πάνυ σεαυτὸν ἀσφαλίσῃ,
— to-Xanthus says this-one if not very yourself you-guard
οὐκ ἂν ἄπορος εἴη μανίας ἀφορμή σοι γίνεσθαι. οἵα
not — at-a-loss he-would-be of-madness a-cause to-you to-become such
γὰρ ἡ μορφή, τοιάδε καὶ ἡ ψυχή". καὶ ὁ Αἴσωπος πρὸς
for the form such also the soul and — Aesop to
αὐτόν· „σύ μοι δοκεῖς, ἄνθρωπε, κακεντρεχής τις καὶ
him you to-me seem man malicious a and
περίεργος εἶναι, δεσπότην κατὰ οἰκέτου παροξύνων." καὶ
meddlesome to-be the-master against the-servant provoking and
ὁ Ξάνθος πρὸς ταῦτα, προφάσεως ἐφιέμενος μαστιγῶσαι
— Xanthus at these-things a-pretext seeking to-scourge
τὸν Αἴσωπον, „δραπέτα" φησίν „ἐπεὶ περίεργον εἶπας
— Aesop runaway he-says since meddlesome you-called
τὸν φίλον, δεῖξόν μοι ἀγαγὼν ἀπερίεργον ἄνθρωπον".
the friend show me having-brought an-unmeddlesome man
ἐξελθὼν τοίνυν τῆς ἐπιούσης ἐπὶ τῆς λεωφόρου ὁ
having-gone-out then on-the following-day onto the highway —
Αἴσωπος καὶ τοὺς παριόντας περισκοπῶν, ὁρᾷ τινα ἐφ'
Aesop and the passers-by looking-round sees one on
ἑνὸς τόπου ἱκανὸν χρόνον καθίσαντα, ὃν καὶ δοκιμάσας
one place sufficient time having-sat whom also having-judged

καθ᾽ αὑτὸν ἀπράγμονά τινα καὶ ἁπλοῦν εἶναι, προσελθών
by himself unmeddlesome a and simple to-be having-approached
φησιν· „ὁ δεσπότης σε καλεῖ σὺν αὐτῷ ἀριστῆσαι.“ καὶ
says the master you invites with him to-breakfast and
ὁ ἄγροικος ἐκεῖνος μηδὲν περιεργασάμενος, μηδὲ τίς ὢν
the rustic that nothing having-meddled nor who being
ὑπὸ τίνος καλεῖται, εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ σὺν
by whom he-is-invited went-in into the house and with
αὐτοῖς ὑποδήμασι φαύλοις οὖσιν ἀνέπεσεν. ἐρομένου δὲ
the-very shoes mean being reclined having-asked and
τοῦ Ξάνθου „τίς οὗτος“; Αἴσωπος εἶπεν· „ἀπερίεργος
— Xanthus who this-one Aesop said an-unmeddlesome
ἄνθρωπος“. καὶ ὁ Ξάνθος εἰς οὖς εἰπὼν τῇ γυναικὶ
man and — Xanthus into ear having-said to-the wife
συνυποκριθῆναι αὐτῷ καὶ ὅπερ ἂν αὐτὸς ἐπιτάττῃ, ποιεῖν,
to-play-along with-him and whatever — he enjoins to-do
ὡς ἂν εὐπροσώπῳ λόγῳ πληγὰς τῷ Αἰσώπῳ ἐντείνειεν,
so-that — with-plausible pretext blows — to-Aesop he-might-lay
εἶτα ἐν ἐπηκόῳ πάντων φησί· „κυρία, ὕδωρ ἐπὶ τῆς
then in hearing of-all says lady water on the
λεκάνης βαλοῦσα, τοὺς πόδας τοῦ ξένου νίψον.“ διενοεῖτο
basin having-put the feet of-the stranger wash he-was-thinking
γὰρ καθ᾽ αὑτόν, ὡς πάντως ὁ μὲν ξένος εὐλαβηθήσεται,
for by himself that by-all-means the indeed stranger will-beg-off
ὁ δ᾽ Αἴσωπος, ὡς ἐκείνου περιέργου φανέντος, πληγὰς
— but Aesop as he meddlesome having-appeared blows
λήψεται. ἡ μὲν οὖν βαλοῦσα τὸ ὕδωρ εἰς τὴν λεκάνην, ἦει
will-get she indeed then having-put the water into the basin went
τοὺς πόδας τοῦ ξένου νίψουσα· ὃ δ᾽ ἐπιγνοὺς ταύτην
the feet of-the stranger going-to-wash he but having-recognized her
οὖσαν τὴν τοῦ οἴκου δεσπότιν, καθ᾽ ἑαυτὸν εἶπε· „τιμῆσαί
being the of-the house mistress by himself said to-honor

με πάντως βούλεται, καὶ τούτου δὴ χάριν αὐτοχειρίᾳ
me by-all-means she-wishes and of-this indeed for-the-sake with-her-own-hand
τοὺς πόδας μου βούλεται νίψαι, ἐπεὶ θεραπαινίσιν εἶχεν
the feet my she-wishes to-wash since maids she-could-have
ἂν τοῦτ' ἐπιτάξαι." προτείνας οὖν τοὺς πόδας, „νίψον,
— this to-order having-held-out then the feet wash
κυρία" φησί. καὶ νιψάμενος ἀνεκλίθη. τοῦ δὲ Ξάνθου
lady he-says and having-been-washed reclined — and Xanthus
κελεύσαντος οἶνον τῷ ξένῳ δοθῆναι πιεῖν, πάλιν ἐκεῖνος
having-ordered wine to-the stranger to-be-given to-drink again he
διελογίσατο καθ' αὑτὸν ὡς „αὐτοὺς μὲν πρότερον ἔδει
reasoned by himself that they indeed first it-was-needful
πιεῖν, ἐπεὶ δ' οὕτως αὐτοῖς ἔδοξεν, οὐδὲν ἔργον ἐμοὶ
to-drink since but so to-them it-seemed nothing business for-me
τὰ τοιαῦτα ἐρευνᾶν", καὶ λαβὼν ἔπιεν. ἀριστώντων δὲ
the such-things to-search-out and having-taken drank breakfasting and
καί τινος ἐδέσματος τῷ ξένῳ παρατεθέντος κἀκείνου
and some food to-the stranger set-beside and-he
ἡδέως ἐσθίοντος, ὁ Ξάνθος τῷ μαγείρῳ ὡς κακῶς τοῦτο
sweetly eating — Xanthus the cook as badly it
ἀρτύσαντι ἐνεκάλει καὶ μέντοι καὶ ἀποδυθέντι πληγὰς
having-seasoned accused and indeed also stripped blows
ἐνεφόρει. ὁ δ' ἀγρότης καθ' ἑαυτὸν ἔλεγε· „τὸ μὲν
heaped the but rustic by himself said the indeed
ἔδεσμα ἄριστα ἕψηται καὶ οὐδενὸς αὐτῷ δεῖ πρὸς τὸ
food excellently is-cooked and nothing it needs for the
καλῶς ἔχειν· εἰ δὲ καὶ δίχα προφάσεως βούλεται τὸν
well to-be if and also without pretext wishes the
αὑτοῦ δοῦλον μαστιγοῦν ὁ οἰκοδεσπότης, τί πρὸς ἐμέ"·
his-own slave to-scourge the master-of-the-house what to me

τοῦ δὲ Ξάνθου ἀσχάλλοντος καὶ οὐχ ἡδέως διακειμένου, ἐπεὶ
— and Xanthus being-vexed and not pleasantly being-disposed since
μηδὲν ὁ ξένος περιειργάζετο, τέλος πλακοῦντες ἠνέχθησαν.
nothing the stranger meddled finally cakes were-brought
ὁ δὲ ξένος, ἅτε δὴ μήπω πλακοῦντος γευσάμενος, σωρεύων
the and stranger as indeed not-yet cake having-tasted heaping
καὶ συνειλῶν αὐτοὺς ὡς ψωμοὺς ἤσθιε. τοῦ δὲ Ξάνθου τὸν
and rolling-up them like morsels ate — and Xanthus the
ἀρτοποιὸν αἰτιασαμένου καὶ „τί δή ποτε, ὦ κατάρατε“,
baker having-blamed and why indeed ever O accursed
φαμένου „καὶ μέλιτος δίχα καὶ πεπέρεως τοὺς πλακοῦντας
saying both of-honey without and of-pepper the cakes
ἐσκεύασας“; ἐκεῖνος ἔφη· „εἰ μὲν ὠμός ἐστιν, ὦ δέσποτα,
did-you-make he said if indeed raw is O master
ὁ πλακοῦς, ἐμὲ τύπτε, εἰ δ' οὐχ ὡς ἔδει ἐσκεύασται,
the cake me beat if but not as it-was-needful it-is-made
μὴ ἐμὲ ἀλλὰ τὴν δέσποιναν αἰτιῶ.“ καὶ ὁ Ξάνθος· „εἰ
not me but the mistress blame and — Xanthus if
πρὸς τῆς ἐμῆς τοῦτο γέγονε γυναικός, ζῶσαν αὐτὴν
by the my this it-has-happened wife alive her
ἀρτίως κατακαύσω.“ καὶ πάλιν τῇ γυναικὶ νεύει αὐτῷ
now I-will-burn and again to-the wife he-nods with-him
συνυποκριθῆναι δι' Αἴσωπον. κελεύσας οὖν κληματίδας
to-play-along for-the-sake-of Aesop having-ordered then vine-twigs
εἰς τὸ μέσον ἀχθῆναι, πυρὰν ἀνῆψε. καὶ λαβόμενος τῆς
into the middle to-be-brought a-pyre he-kindled and having-seized the
γυναικός, ἐγγὺς τῆς πυρᾶς ἤγαγε, προσδοκήσιμος ὢν αὐτὴν
wife near the pyre led-her expected being her
εἰς τὸ πῦρ ἐπαφεῖναι. διέτριβε δέ πως καὶ περιεβλέπετο
into the fire to-let-go he-delayed and somehow and looked-round-at
τὸν ἄγροικον, εἴ πως ἀναστὰς τοῦ τοιοῦδε τολμήματος
the rustic if somehow having-risen from-the such daring

εἶρξαι αὐτὸν ἐγχειρήσειεν. ὁ δὲ καθ' ἑαυτὸν αὖθις
to-restrain him he-might-attempt he but by himself again
διεσκοπεῖτο ὡς „αἰτίας μὴ παρούσης, τί δή ποτε οὕτως
considered that a-cause not being-present why indeed ever so
ὀργίζεται"; εἶτά φησιν· „οἰκοδεσπότα, εἰ τοῦτο κέκρικας
he-is-angry then he-says master-of-the-house if this you-have-judged
δεῖν γενέσθαι, ὑπόμεινόν με μικρὸν μέχρις ἂν ἀπελθὼν
to-be-needful to-happen wait-for me a-little until — having-gone-away
ἐνέγκω μου καὶ αὐτὸς ἐξ ἀγροῦ τὴν γυναῖκα, ὡς ἂν ἄμφω
I-bring my also myself from field the wife so-that — both
κατὰ τὸ αὐτὸ κατακαύσῃς". ταῦτα τοῦ ἀνδρὸς ὁ Ξάνθος
at the same you-may-burn these-things of-the man — Xanthus
ἀκούσας καὶ τὸ τούτου ἀκέραιον καὶ γενναῖον θαυμάσας,
having-heard and the his simple and noble having-admired
τῷ Αἰσώπῳ φησίν· „ἴδε ἀληθῶς ἄνθρωπος ἀπερίεργος.
— to-Aesop says see truly a-man unmeddlesome
ἔχεις τὰ νικητήρια λαβών, Αἴσωπε. ἄλις ἔχει σοι τοῦ
you-have the prizes having-taken Aesop enough it-has for-you of-the
λοιποῦ. τὸ δ' ἐντεῦθεν ἐλευθερίας τῆς σῆς ἐπιτεύξῃ".
future the and henceforth freedom of-the your you-will-attain
Τῆς δ' ἐπιούσης ὁ Ξάνθος ἐπέταξε τῷ Αἰσώπῳ εἰς τὸ
on-the and following-day — Xanthus enjoined — to-Aesop into the
βαλανεῖον ἀπελθεῖν καὶ σκέψασθαι, εἰ μὴ πολὺς πάρεστιν
bath to-go-away and to-look if not great is-present
ὄχλος, βούλεσθαι γὰρ αὐτὸν λουθῆναι. ἀπιόντι δὲ
a-crowd to-wish for him to-bathe to-him-going-away and
ὁ στρατηγὸς συναντήσας καὶ τοῦ Ξάνθου γνοὺς
the general having-met and — of-Xanthus having-recognized
αὐτὸν ὄντα, ἤρετο ποῖ πορεύοιτο. τοῦ δὲ „οὐκ οἶδα"
him being asked where he-was-going he and not I-know
φαμένου, νομίσας ὁ στρατηγὸς τὴν ἐρώτησιν αὐτοῦ παρ'
having-said having-thought the general the question his for

οὐδὲν λογισθῆναι, εἰς εἱρκτὴν αὐτὸν ἀπαχθῆναι κελεύει.
nothing to-be-reckoned into prison him to-be-led-off orders
ἀπαγόμενος τοίνυν ὁ Αἴσωπος ἔκραξεν· „ὁρᾷς, ὦ στρατηγέ,
being-led-off then — Aesop cried you-see O general
ὅπως ὀρθῶς ἀπεκρίθην; ἃ γὰρ μὴ προσεδόκησα,
how rightly I-answered what-things for not I-expected
καὶ συνήντησά σοι, καὶ εἰς εἱρκτὴν ἤδη ἀπάγομαι.“
also I-met you and into prison already am-led-off
καὶ ὁ στρατηγὸς ἐκπλαγεὶς ἐπὶ τῷ τῆς ἀπολογίας
and the general astounded at the of-the defense
ἑτοίμῳ, ἀφῆκεν ἀπιέναι· Αἴσωπος δὲ παραγενόμενος εἰς
readiness let-him to-go-away Aesop and having-arrived into
τὸ βαλανεῖον καὶ πλῆθος ἐν αὐτῷ θεασάμενος ὄχλου, καὶ
the bath and a-multitude in it having-beheld of-crowd and
λίθον ὁρᾷ κατὰ τὸ τῆς εἰσόδου μεσαίτατον κείμενον, ἐφ’
a-stone sees at the of-the entrance very-middle lying against
ὃν ἕκαστος τῶν εἰσιόντων τε καὶ ἐξιόντων τὸν πόδα
which each of-those going-in both and going-out the foot
προσέπταιε. τοῦτον δὲ εἷς τις εἰσιὼν ἐφ’ ᾧ λούσασθαι,
struck this and one a going-in for which to-bathe
ἄρας μετέθηκεν. ὑποστρέψας οὖν πρὸς τὸν δεσπότην,
having-lifted moved having-returned then to the master
„εἰ κελεύεις“ φησί „δέσποτα, λούσασθαι, ἕνα ἄνθρωπον ἐν
if you-order he-says master to-bathe one man in
τῷ βαλανείῳ τεθέαμαι“. καὶ τοῦ Ξάνθου ἐλθόντος καὶ τὸ
the bath I-have-beheld and — Xanthus having-come and the
πλῆθος τῶν λουομένων ἰδόντος καὶ „τί τοῦτο,“ εἰπόντος
multitude of-the bathers having-seen and what this having-said
„Αἴσωπε; οὐχ ἕνα ἄνθρωπον ἔφης ἑωρακέναι;“ ὁ Αἴσωπος
Aesop not one man you-said to-have-seen — Aesop
„ναί·“ φησί „τὸν γὰρ λίθον ἐκεῖνον“, τῇ χειρὶ δείξας,
yes he-says the for stone that with-the hand having-shown

„πρὸ τῆς εἰσόδου κείμενον εὗρον, ἐφ' ὃν οἱ εἰσιόντες
before the entrance lying I-found against which those going-in
πάντες καὶ ἐξιόντες προσέπταιον. εἷς δέ τις πρὶν ἢ
all and going-out stumbled one but a before than
προσπταῖσαι ἄρας μετέθηκεν. ἐκεῖνον οὖν ἕνα ἄνθρωπον
to-stumble having-lifted moved that-one then one man
εἶπον ἑωρακέναι, προτιμήσας τῶν ἄλλων". καὶ ὁ Ξάνθος·
I-said to-have-seen having-preferred to-the others and — Xanthus
„οὐδὲν παρὰ τῷ Αἰσώπῳ ἀργὸν πρὸς ἀπολογίαν."
nothing with — Aesop idle for defense
Ἄλλοτέ ποτε τοῦ Ξάνθου ἐξ ἀφέδρου ἐπανιόντος, καὶ
another-time once — Xanthus from privy returning and
πυθομένου τὸν Αἴσωπον, τί δή ποτε οἱ ἄνθρωποι
having-asked — Aesop why indeed ever the men
μετ' ἀπόπατον τὰ τῆς γαστρὸς ἐκκρίματα βλέπουσιν,
after relieving the-things of-the belly excrements look-at
ἐκεῖνος ἔφη· „κατὰ τοὺς πάλαι χρόνους ἀνήρ τις τῶν
he said in the old times man a-certain of-those
τρυφερώτερον ζώντων πολὺν χρόνον ὑπὸ σπατάλης ἐν
more-luxuriously living much time from extravagance in
τῇ ἀφόδῳ ἐκάθητο, ὡς καὶ τὰς οἰκείας ἐκεῖ διατρίβων
the privy sat so-that even the own there spending-time
ἀποπατῆσαι φρένας. ἐξ ἐκείνου τοίνυν δεδοικότες οἱ
to-void wits from that-one then fearing the
λοιποὶ τῶν ἀνθρώπων πρὸς τὰ τῆς γαστρὸς ἑαυτῶν
rest of-the men at the-things of-the belly their-own
ἀφορῶσι λύματα, μήπως καὶ αὐτοὶ τοῦτο πεπόνθασιν.
look excrements lest also they this have-suffered
ἀλλὰ σύ, δέσποτα, μὴ φοβοῦ· οὐ γὰρ ἔχεις φρένας."
but you master not fear not for you-have wits

Ἐν ἡμέρᾳ δέ τινι συμποσίου συγκροτηθέντος καὶ τοῦ
on day and a-certain a-banquet having-been-gathered and —
Ξάνθου σὺν τοῖς ἄλλοις τῶν φιλοσόφων ἀνακλιθέντος,
Xanthus with the others of-the philosophers having-reclined
καὶ τοῦ πότου ἤδη ἐπικρατήσαντος, συχνὰ προβλήματα
and the drinking already having-prevailed frequent problems
μεταξὺ τούτων ἐκαλινδεῖτο. καὶ τοῦ Ξάνθου ἀρξαμένου
among them were-rolled-about and — Xanthus having-begun
ταράττεσθαι, Αἴσωπος παρεστὼς ἔφη· „δέσποτα, ὁ
to-be-confused Aesop standing-by said master —
Διόνυσος τρεῖς κέκτηται κράσεις· τὴν μὲν πρώτην ἡδονῆς,
Dionysus three has mixings the indeed first of-pleasure
τὴν δὲ δευτέραν μέθης, τὴν δὲ τρίτην ὕβρεως. καὶ
the and second of-drunkenness the and third of-outrage and
ὑμεῖς οὖν πεπωκότες ἤδη καὶ ἡσθέντες, τὰ ἐφεξῆς
you then having-drunk already and having-been-pleased the-things next
καταλίπετε.“ καὶ ὁ Ξάνθος ἤδη μεθύων φησί· „σιώπα,
leave and — Xanthus already being-drunk says be-silent
τοῖς ἐν Ἅιδου συμβούλευε“. καὶ ὁ Αἴσωπος· „οὐκοῦν
to-those in Hades give-counsel and — Aesop therefore
καὶ εἰς Ἅιδου κατασπασθήσῃ“. τῶν δὲ σχολαστικῶν τις
also into Hades you-will-be-dragged-down of-the and students one
ὑποβεβρεγμένον ἤδη τῇ μέθῃ τὸν Ξάνθον ἰδὼν
soaked already with-the drunkenness — Xanthus having-seen
καὶ τὸ ὅλον εἰπεῖν οἰνοπλῆγα, „καθηγητά“, φησί „δύναταί
and the whole to-say wine-struck master he-says can
τις ἐκπιεῖν τὴν θάλατταν ἄνθρωπος“; καὶ ὅς· „πάνυ μὲν
one to-drink-up the sea a-man and he very indeed
οὖν. ἐγὼ γὰρ αὐτὸς ταύτην ἐκπίομαι“. καὶ ὁ σχολαστικός·
then I for myself it will-drink-up and the student
„εἰ δ’ οὐ δυνήσῃ, τί ποτέ σοι τίμημα ἐπιγράψω“; καὶ
if but not you-will-be-able what ever to-you penalty shall-I-write-in and

ὁ Ξάνθος· „τὴν οἰκίαν μου τίθημι πᾶσαν. καὶ ἐπὶ τούτοις
— *Xanthus the house my I-stake all and on these*
καταθέμενοι τοὺς δακτυλίους, τὰς συνθήκας ἐκύρωσαν. τότε
having-deposited the rings the compacts they-ratified then
μὲν οὖν διελύθησαν· τῇ δ' ὑστεραίᾳ πρωίας ἐξεγερθέντος
indeed then they-parted on-the and next-day at-dawn having-woken
τοῦ Ξάνθου, καὶ τήν τε ὄψιν νιψαμένου καὶ τὸν δακτύλιον
— *Xanthus and the both face having-washed and the ring*
ἐν τῷ νίπτεσθαι μὴ ἰδόντος, καὶ τὸν Αἴσωπον περὶ αὐτοῦ
in the to-wash not having-seen and — Aesop about it
πυθομένου, ἐκεῖνος „οὐκ οἶδα", φησί „τί ποτε γέγονεν. ἓν
having-asked he not I-know he-says what ever has-happened one
δ' οἶδα μόνον, ὅτι τῆς οἰκίας σαυτοῦ ἀλλότριος γέγονας".
but I-know only that of-the house of-your-own a-stranger you-have-become
καὶ ὁ Ξάνθος· „ὅτι τί δή"; καὶ ὁ Αἴσωπος· „ὅτι τὴν
and — Xanthus because what indeed and — Aesop because the
χθὲς μεθύων συνέθου τὴν θάλατταν ἐκπιεῖν· κἀπὶ ταῖς
yesterday being-drunk you-agreed the sea to-drink-up and-on the
ὁμολογίαις κατέθου καὶ τὸν δακτύλιον. κἀκεῖνος· „καὶ
agreements you-deposited also the ring and-be and
πῶς ἄρ' ἐγὼ μεῖζον πίστεως ἔργον δυνήσομαι; ἀλλὰ σοῦ
how then I greater than-faith a-deed will-be-able but you
νῦν δέομαι, εἴ τις ξύνεσις, εἴ τις δεινότης καὶ ἐμπειρία,
now I-beg if any understanding if any cleverness and experience
ξυμπαρίστασο καὶ βοήθειαν ὄρεγε, ὡς περιγενέσθαι ἢ τάς
stand-by and help hold-out so-as to-prevail or the
γε συνθήκας λῦσαι." καὶ ὁ Αἴσωπος· „περιγενέσθαι μὲν
indeed compacts to-dissolve and — Aesop to-prevail indeed
οὐκ ἔνι, λυθῆναι δὲ τὰς ὁμολογίας ποιήσω.
not is-possible to-be-dissolved but the agreements I-will-make

ἐπειδὰν γὰρ αὖθις τήμερον εἰς ταὐτὸ συνέλθητε, μηδ'
when for again today into the-same you-come-together not-even
ὁτιοῦν φανῇς δειλιάσας, ἀλλ' ἅπερ ὡμολόγησας παροινῶν,
in-any-way appear having-feared but what you-agreed drinking
ταῦτα καὶ νήφων λέγε. κέλευσον μέντοι στρώματα καὶ
these-things also sober say order however bedding and
τράπεζαν παρὰ τὴν ἠιόνα τεθῆναι καὶ παῖδας ἑτοίμους
a-table by the shore to-be-set and boys ready
σὺν ἐκπώμασιν ὀρέγειν σοι τὸ θαλάττιον ὕδωρ. ἐπειδὰν
with cups to-hold-out to-you the sea water when
δὲ σύμπαντα θεάσῃ τὸν ὄχλον συνδεδραμηκότα ἐπὶ
and all you-behold the crowd having-run-together to
τὴν θέαν, αὐτὸς ἀναπεσὼν κέλευσον ἐκ τῆς θαλάττης
the spectacle yourself having-reclined order from the sea
πλησθῆναι τὸ ἔκπωμα. καὶ τοῦτο λαβὼν ἐν ἐπηκόῳ
to-be-filled the cup and this having-taken in hearing
πάντων εἰπὲ τῷ συνθηκοφύλακι· „τίνας παρ' ὑμῖν
of-all say to-the keeper-of-the-compact what with you
πεποιήκαμεν τὰς συνθήκας"; καὶ ὃς ἀποκρινεῖταί σοι, ὡς
have-we-made the compacts and he will-answer you that
ὡμολόγησας τὴν θάλατταν ἐκπιεῖν. στραφεὶς οὖν σὺ πρὸς
you-agreed the sea to-drink-up having-turned then you to
ἅπαντας, οὕτω φράσον· „ἄνδρες Σάμιοι, ἴστε καὶ ὑμεῖς
all thus say men Samians you-know also you
πάντως πλείστους ὅσους ποταμοὺς ἐκβάλλοντας εἰς τὴν
by-all-means very-many as-many-as rivers emptying into the
θάλατταν. ἐγὼ δὲ συνεθέμην μόνην τὴν θάλατταν ἐκπιεῖν,
sea I but agreed only the sea to-drink-up
οὐ μὴν καὶ τοὺς ἐξιόντας εἰς αὐτὴν ποταμούς. οὗτος
not however also the going-out into it rivers this-man
οὖν ὁ σχολαστικὸς ἀπελθὼν πρότερον ἐπισχέτω τοὺς
then the student having-gone-away first let-him-hold-back the

ποταμοὺς ἅπαντας, εἶτα δ' εὐθὺς ἐγὼ τὴν θάλατταν μόνην
rivers all then and at-once I the sea alone
ἐκπίομαι." ὁ δὲ Ξάνθος τὴν μέλλουσαν ἐκ τούτου τῆς
will-drink-up — and Xanthus the coming from this of-the
συνθήκης διάλυσιν ἔσεσθαι γνούς, ὑπερήσθη. τοῦ δήμου
compact dissolution to-be having-known was-overjoyed the people
τοίνυν παρὰ τὸν αἰγιαλὸν συρρεύσαντος ἐπὶ θέαν τοῦ
then by the shore having-flowed-together for the-spectacle of-the
πραχθήσεσθαι μέλλοντος, καὶ τοῦ Ξάνθου κατὰ τὰ
to-be-done going and — Xanthus according-to the-things
διδαχθέντα πρὸς τοῦ Αἰσώπου δράσαντος καὶ εἰπόντος,
taught by — Aesop having-done and having-said
οἱ Σάμιοι ἀνεβόησαν εὐφημοῦντες αὐτὸν καὶ θαυμάζοντες.
the Samians shouted acclaiming him and wondering
ὁ δὲ σχολαστικὸς προσπεσὼν τηνικαῦτα τῷ Ξάνθῳ,
the and student having-fallen-before then — to-Xanthus
νενικῆσθαί τε ὡμολόγει καὶ τὰς συνθήκας ἐδεῖτο
to-have-been-conquered both confessed and the compacts begged
λῦσαι· ὃ καὶ πεποίηκε Ξάνθος δυσωποῦντος τοῦ δήμου.
to-dissolve which also did Xanthus entreating the people
Ἀφικομένων δ' αὐτῶν εἰς τὴν οἰκίαν, Αἴσωπος προσελθὼν
having-arrived and they into the house Aesop having-approached
τῷ Ξάνθῳ φησίν· „ὁ πάντα σοι τὸν βίον χαρισάμενος
— to-Xanthus says the-one all to-you the life having-bestowed
ἐγὼ οὔκουν ἄξιός εἰμι τυχεῖν ἐλευθερίας"; καὶ ὁ Ξάνθος
I not-then worthy am to-attain freedom and — Xanthus
λοιδορήσας αὐτὸν ἀπήλασε λέγων· „μὴ γὰρ οὐ βουλομένῳ
having-reviled him drove-off saying not for not wishing
μοι ἦν τοῦτο πρᾶξαι; ἀλλ' ἔξελθε πρὸ τοῦ πυλῶνος καὶ
to-me was-it this to-do but go-out before the gateway and
σκέψαι. κἂν ἴδῃς δύο κορώνας, ἀνάγγειλόν μοι· ἀγαθὸς
look and-if you-see two crows report to-me good

γὰρ οἰωνὸς οὗτος· ἐπεὶ εἰ μίαν ἴδοις, τοῦτο πονηρόν.“
for omen this since if one you-see this bad
προελθὼν οὖν ὁ Αἴσωπος καὶ συμβὰν οὕτω δύο
having-gone-forward then — Aesop and it-having-happened so two
κορώνας ἐπί τινος ἰδὼν δένδρου καθεζομένας, εἰσελθὼν
crows on a having-seen tree sitting having-gone-in
τῷ Ξάνθῳ ἀνήγγειλεν. ἐξιόντι δὲ τῷ Ξάνθῳ ἡ ἑτέρα τούτων
— to-Xanthus reported going-out and — to-Xanthus the other of-them
ἀπέπτη. καὶ ὁ Ξάνθος θατέραν μόνην ἰδὼν ἔφη· „οὐκ
flew-off and — Xanthus the-one alone having-seen said not
εἶπάς μοι, κατάρατε, δύο ἑωρακέναι“; καὶ ὅς· „οὕτως· ἀλλ’
did-you-say to-me accursed two to-have-seen and he so but
ἡ ἑτέρα ἀπέπτη“. καὶ ὁ Ξάνθος· „ἐπέλιπέ σοι, δραπέτα,
the other flew-off and — Xanthus has-failed you runaway
τὸ χλευάζειν με“; καὶ κελεύει αὐτὸν γυμνωθέντα τύπτεσθαι.
the to-mock me and orders him stripped to-be-beaten
τοῦ δ’ Αἰσώπου μαστιζομένου, προσελθών τις ἐκάλει ἐπὶ
— and Aesop being-scourged having-approached one invited to
δεῖπνον τὸν Ξάνθον. καὶ ὁ Αἴσωπος τυπτόμενος ἀνεβόησεν·
dinner — Xanthus and — Aesop being-beaten shouted
„οἴμοι τῷ δυστήνῳ· ἐγὼ μὲν γὰρ ὁ τὸ δικόρωνον
alas for-the wretched I indeed for the-one the two-crow
ἰδὼν τύπτομαι, σὺ δ’ ὁ μίαν ἰδὼν μόνην εἰς εὐωχίαν
having-seen am-beaten you but the-one one having-seen alone to feasting
ἄπει. ἔωλος ἄρ’ ἦν ἡ οἰωνοσκοπία.“ καὶ ὁ Ξάνθος τὸ
go stale then was the augury and — Xanthus the
ἀγχίνουν αὐτοῦ θαυμάσας, παύσασθαι κελεύει τυπτόμενον.
shrewdness his having-admired to-stop orders being-beaten

Aesop admits only the guest who answers his riddle at the door. He reads a cipher on a tomb, finds a treasure, and is jailed by Xanthus for knowing it belongs to the king. When an eagle drops the public ring into a slave's lap, the Samians make Xanthus free Aesop, who reads it as a king's threat to their freedom. Croesus demands him; Aesop goes, tells the fable of the cicada, and wins the island peace. At Babylon he rises with King Lycerus by solving other kings' riddles.

Μετὰ δ' οὐ πολλὰς ἡμέρας φιλοσόφους καὶ ῥήτορας
after and not many days philosophers and orators
καλέσας ὁ Ξάνθος, ἐκέλευσε τῷ Αἰσώπῳ πρὸ τοῦ πυλῶνος
having-invited — Xanthus ordered — to-Aesop before the gateway
στῆναι καὶ μηδένα τῶν ἰδιωτῶν εἰσελθεῖν συγχωρῆσαι, ἀλλ'
to-stand and no-one of-the laymen to-go-in to-allow other
ἢ τοὺς σοφοὺς μόνους. τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας
than the wise only at-the and hour of-the breakfast having-shut
Αἴσωπος τὸν πυλῶνα, ἐντὸς ἐκαθέσθη. τῶν κεκλημένων δέ
Aesop the gateway inside sat of-the invited and
τινος ἐλθόντος καὶ τὴν θύραν κόπτοντος, Αἴσωπος ἔνδοθεν
one having-come and the door knocking Aesop from-within
ἔφη· „τί σείει ὁ κύων;" ὁ δὲ νομίσας κύων κληθῆναι,
said what shakes the dog he and having-thought dog to-have-been-called
ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν ἕκαστος ἀφικνούμενος,
angered withdrew so then each arriving
αὖθις ἀπῄει σὺν ὀργῇ, νομίζων ὑβρίζεσθαι, τοῦ Αἰσώπου
again went-away with anger thinking to-be-insulted — Aesop
ταὐτὰ πάντας ἔνδοθεν ἐρωτῶντος. ἑνὸς δ' αὐτῶν
the-same-things all from-within asking one and of-them
κόψαντος καὶ „τί σείει ὁ κύων"; ἀκούσαντος, καὶ „τήν τε
having-knocked and what shakes the dog having-heard and the both
κέρκον καὶ τὰ ὦτα" ἀποκριθέντος, Αἴσωπος αὐτὸν ὀρθῶς
tail and the ears having-answered Aesop him rightly

δοκιμάσας ἀποκεκρίσθαι, ἀνοίξας πρὸς τὸν δεσπότην
having-judged to-have-answered having-opened to the master
ἤγαγε καὶ φησίν· „οὐδεὶς τῶν φιλοσόφων συνεστιαθῆναί
led and says no-one of-the philosophers to-feast-with
σοι ἦλθεν, ὦ δέσποτα, πλὴν οὗτος μόνος“. καὶ ὁ Ξάνθος
you came O master except this-one alone and — Xanthus
σφόδρα ἠθύμησε, παραλελογίσθαι οἰηθεὶς ὑπὸ τῶν
greatly was-despondent to-have-been-cheated having-thought by the
κληθέντων. τῇ δ’ ὑστεραίᾳ συνελθόντες οἱ κληθέντες
invited on-the and next-day having-come-together the invited
ἐπὶ τὴν διατριβήν, ἐνεκάλουν τῷ Ξάνθῳ, φάσκοντες· „ὡς
to the school accused — to-Xanthus saying as
ἔοικας, ὦ καθηγητά, ἐπεθύμεις μὲν αὐτὸς ἐξουδενῶσαι
you-seem O teacher you-desired indeed yourself to-set-at-naught
ἡμᾶς, αἰδούμενος δέ, τὸν σαπρὸν ἐπὶ τοῦ πυλῶνος ἔστησας
us being-ashamed but the rotten at the gateway you-set
Αἴσωπον, ὡς προπηλακίσαι καὶ κύνας ἡμᾶς ἀποκαλέσαι.“
Aesop so-as to-insult and dogs us to-call
καὶ ὁ Ξάνθος· „ὄναρ τοῦτ’ ἔστιν, ἢ ὕπαρ“; κἀκεῖνοι·
and — Xanthus a-dream this is or a-waking-vision and-they
„εἰ μὴ ῥέγχομεν, ὕπαρ“. καὶ δὴ τάχος μετακληθεὶς
if not we-snore a-waking-vision and indeed quickly summoned
Αἴσωπος καὶ ἐρωτηθεὶς σὺν ὀργῇ, τοῦ χάριν ἀτίμως
Aesop and having-been-asked with anger for-what sake dishonorably
τοὺς φίλους ἀπέστρεψεν, ἔφη· „οὐχὶ σύ μοι, δέσποτα,
the friends he-turned-away said not you me master
ἐνετείλω, μή τινα τῶν ἰδιωτῶν καὶ ἀμαθῶν ἀνδρῶν ἐᾶσαι
enjoined not any of-the laymen and unlearned men to-allow
πρὸς τὴν σὴν συνεισελθεῖν εὐωχίαν, ἀλλ’ ἢ τοὺς σοφοὺς
to the your to-come-in-with feasting other than the wise
μόνους“; καὶ ὁ Ξάνθος· „καὶ τίνες οὗτοι; οὐ τῶν σοφῶν“;
only and — Xanthus and who these not of-the wise

καὶ ὁ Αἴσωπος· „οὐδεμιᾷ μηχανῇ· αὐτῶν γὰρ κοπτόντων
and — Aesop by-no means they for knocking
τὴν θύραν, κἀμοῦ ἔνδοθεν ἐρωτῶντος „τί ποτε σείει ὁ
the door and-I from-within asking what ever shakes the
κύων“, οὐδ’ ὁστισοῦν αὐτῶν συνῆκε τὸν λόγον.
dog not-even anyone of-them understood the word
ἐγὼ γοῦν ὡς ἀμαθῶν πάντων φανέντων, οὐδένα τούτων
I at-any-rate as unlearned all having-appeared none of-them
εἰσήγαγον, πλὴν τὸν σοφῶς τοῦτον ἀποκριθέντα μόνον.“
led-in except the-one wisely this-one having-answered alone
οὕτως οὖν τοῦ Αἰσώπου ἀπολελογημένου, ὀρθῶς ἅπαντες
so then — Aesop having-made-his-defense rightly all
λέγειν αὐτὸν ἐψηφίσαντο.
to-speak him voted
Καὶ μεθ’ ἡμέρας πάλιν τινάς, ὁ Ξάνθος ἑπομένου τοῦ
and after days again some — Xanthus following —
Αἰσώπου πρὸς τὰ μνήματα παρεγένετο, καὶ ἃ ἐν ταῖς
Aesop to the tombs came and which on the
λάρναξιν ἐπιγράμματα ἦν ἀναγινώσκων, ἑαυτὸν ἔτερπε.
coffins inscriptions were reading himself delighted
τοῦ δ’ Αἰσώπου ἔν τινι τούτων ἐγκεχαραγμένα στοιχεῖα
— and Aesop on one of-them engraved letters
ταῦτα ἰδόντος, Α. Β. Δ. Ο. Ε. Θ. Χ, ἐπιδείξαντός τε
these having-seen A B D O E Th Ch having-shown and
τῷ Ξάνθῳ καὶ ἐρομένου εἰ ἄρα ταῦτα εἰδείη, ἐπιμελῶς
— to-Xanthus and having-asked if then these he-knew carefully
ἐκεῖνος σκεψάμενος, οὐχ οἷός τ’ ἐγένετο τὴν τούτων
he having-considered not such-as indeed was the of-these
εὑρεῖν διασάφησιν, καὶ ὡμολόγησεν ἀπορῆσαι τοῖς ὅλοις.
to-find explanation and confessed to-be-at-a-loss in-the whole
καὶ ὁ Αἴσωπος· „εἰ διὰ ταύτης τῆς στήλης, ὦ δέσποτα,
and — Aesop if through this the stele O master

θησαυρὸν ὑποδείξω σοι, τίνι με ἀμείψῃ;“ καὶ ὅς·
a-treasure I-show you with-what me will-you-requite and he
„θάρσει· λήψῃ γὰρ τὴν ἐλευθερίαν σου καὶ τὸ ἥμισυ
take-courage you-will-get for the freedom your and the half
τοῦ χρυσίου.“ τότε ὁ Αἴσωπος ἀποσχὼν τῆς στήλης
of-the gold then — Aesop having-gone-away from-the stele
βήματα τέτταρα καὶ ὀρύξας, ἀνέλαβέ τε τὸν θησαυρὸν καὶ
steps four and having-dug took-up both the treasure and
ἤνεγκε τῷ δεσπότῃ, λέγων· „δός μοι τὴν ἐπαγγελίαν, δι᾽
brought to-the master saying give me the promise through
ἧς εὗρες τὸν θησαυρόν“. καὶ ὁ Ξάνθος· „οὐχ ὅσα κἀμὲ
which you-found the treasure and — Xanthus not as-far-as I-too
εἰδέναι, εἰ μὴ καὶ τὸν νοῦν τῶν στοιχείων μοι φράσεις. τὸ
to-know if not also the sense of-the letters to-me you-will-tell the
γὰρ μαθεῖν τοῦτο πολὺ τοῦ εὑρήματος ἐμοὶ τιμιώτερον“.
for to-learn this much than-the find to-me more-precious
καὶ ὁ Αἴσωπος· „ὁ τὸν θησαυρὸν κατορύξας ἐνταῦθα
and — Aesop the-one the treasure having-buried here
ὡς σοφὸς ἀνὴρ τὰ στοιχεῖα διεχάραξε ταῦτα, ἃ καὶ
as wise man the letters engraved these which also
φησίν· Α, ἀποβάς· Β, βήματα· Δ, τέτταρα· Ο, ὀρύξας·
says A having-gone-off B steps D four O having-dug
Ε, εὑρήσεις· Θ, θησαυρόν· Χ, χρυσίου.“ καὶ ὁ Ξάνθος·
E you-will-find Th a-treasure Ch of-gold and — Xanthus
„ἐπειδήπερ οὕτως ἐπήβολος εἶ καὶ πανοῦργος, οὐ λήψῃ
since so apt you-are and crafty not you-will-get
σου τὴν ἐλευθερίαν“. καὶ ὁ Αἴσωπος· „ἀναγγελῶ δοθῆναι,
your the freedom and — Aesop I-will-report to-be-given
ὦ δέσποτα, τὸ χρυσίον τῷ βασιλεῖ Βυζαντίων. ἐκείνῳ γὰρ
O master the gold to-the king of-the-Byzantines for-him for
τεταμίευται“. καὶ ὁ Ξάνθος· „πόθεν τοῦτ᾽ οἶσθα“; κἀκεῖνος·
it-has-been-stored and — Xanthus whence this do-you-know and-he

„ἐκ τῶν στοιχείων. τοῦτο γάρ φησιν· Α, ἀπόδος· Β, βασιλεῖ·
from the letters this for it-says A give-back B to-the-king
Δ, Διονυσίῳ· Ο, ὅν· Ε, εὗρες· Θ, θησαυρόν· Χ, χρυσίου.“
D to-Dionysius O which E you-found Th a-treasure Ch of-gold
καὶ ὁ Ξάνθος τοῦ βασιλέως ἀκούσας εἶναι τὸ χρυσίον, τῷ
and — Xanthus of-the king having-heard to-be the gold —
Αἰσώπῳ ἔφη· „λαβὼν τὸ ἥμισυ τοῦ ἑρμαίου, ἡσύχασον“.
to-Aesop said having-taken the half of-the windfall keep-quiet
κἀκεῖνος· „οὐ σύ μοι νῦν τοῦτο παρέχεις, ἀλλ᾽ ὁ
and-he not you to-me now this you-provide but the-one
τὸ χρυσίον ἐνταυθὶ κατορύξας. καὶ ὅπως, ἄκουσον. τοῦτο
the gold here having-buried and how hear this
γὰρ λέγει τὰ γράμματα· Α, ἀνελόμενοι· Β, βαδίσαντες· Δ,
for say the letters A having-taken-up B having-walked D
διέλεσθε· Ο, ὅν· Ε, εὕρετε· Θ, θησαυρόν· Χ, χρυσίου.“ καὶ
divide O which E you-found Th a-treasure Ch of-gold and
ὁ Ξάνθος „δεῦρο“ φησίν „εἰς τὴν οἰκίαν, ὡς ἂν καὶ τὸν
— Xanthus come-here he-says into the house so-that — also the
θησαυρὸν διελώμεθα, καὶ σὺ τὴν ἐλευθερίαν ἀπολάβῃς“.
treasure we-may-divide and you the freedom may-get
ἐλθόντων οὖν, ὁ Ξάνθος φοβούμενος τὸ τοῦ Αἰσώπου
having-come then — Xanthus fearing the — of-Aesop
λάλον, εἰς εἱρκτὴν αὐτὸν ἐκέλευσεν ἐμβληθῆναι. καὶ ὁ
talkativeness into prison him ordered to-be-thrown and —
Αἴσωπος ἀπαγόμενος „τοιαῦται“ φησίν „εἰσὶν αἱ ὑποσχέσεις
Aesop being-led-off such he-says are the promises
τῶν φιλοσόφων; οὐχ ὅτι γὰρ οὐκ ἀπολαμβάνω μου τὴν
of-the philosophers not that for not I-get my the
ἐλευθερίαν, ἀλλὰ καὶ εἰς δεσμωτήριον κελεύεις βληθῆναί
freedom but even into jail you-order to-be-thrown
με.“ ὁ μὲν οὖν Ξάνθος ἐκέλευσεν αὐτὸν ἀπολυθῆναι,
me — indeed then Xanthus ordered him to-be-released

καὶ πρὸς αὐτὸν ἔφη· „πάνυ καλῶς φής, ἵν' ἐλευθερίας
and to him said very well you-say so-that freedom
τυχών, σφοδρότερός μου γένῃ κατήγορος". ὁ δὲ
having-attained more-violent my you-may-become accuser — and
Αἴσωπος εἶπεν· „ὅτι ποτέ με κακὸν ἔχεις ποιεῖν, ποίει.
Aesop said what ever me evil you-are-able to-do do
πάντως καὶ ἄκων ἐλευθερώσεις με."
by-all-means even unwilling you-will-free me
Κατὰ δὲ τοὺς καιροὺς τούτους συνέπεσέ τι τοιοῦτον
during and the times these happened something such
ἐν Σάμῳ. πανδήμου ἑορτῆς ἀγομένης αἴφνης ἀετὸς
in Samos a-public festival being-held suddenly an-eagle
καταπτὰς καὶ τὸν δημόσιον ἁρπάσας δακτύλιον, εἰς
having-flown-down and the public having-snatched ring into
δούλου κόλπον ἀφῆκεν. οἱ μὲν οὖν Σάμιοι θροηθέντες
a-slave's lap let-fall the indeed then Samians troubled
καὶ εἰς πλείστην περὶ τοῦδε τοῦ σημείου πεσόντες τὴν
and into very-great about this the sign having-fallen the
ἀγωνίαν, κατὰ ταὐτὸν ἀθροισθέντες, ἤρξαντο δεῖσθαι τοῦ
anxiety in the-same gathered began to-beg —
Ξάνθου, ἅτε πρώτου τῶν πολιτῶν ὄντος καὶ φιλοσόφου,
of-Xanthus as first of-the citizens being and philosopher
σφίσι τὴν κρίσιν τοῦ σημείου διασαφῆσαι. ὁ δὲ τοῖς ὅλοις
for-them the judgment of-the sign to-make-clear he and in-the whole
ἐπαπορῶν, χρόνον ἤτησε. καὶ ἀφικόμενος οἴκαδε, πολὺς
being-at-a-loss time asked and having-arrived home much
ἦν ἀθυμῶν καὶ τῇ λύπῃ βαπτιζόμενος, οἷα δὴ μηδὲν
he-was despondent and in-the grief immersed as indeed nothing
κρῖναι δυνάμενος. ὁ δ' Αἴσωπος τὴν ἀθυμίαν συννοήσας
to-judge being-able — and Aesop the despondency having-perceived
τοῦ Ξάνθου, προσελθὼν λέγει· „τοῦ χάριν, ὦ δέσποτα,
— of-Xanthus having-approached says for-what sake O master

οὕτω διατελεῖς ἀθυμῶν; ἐμοὶ προσανάθου, χαίρειν εἰπὼν
thus do-you-continue despondent to-me refer(-it) farewell having-said
τῷ λυπεῖσθαι· αὔριον δ' εἰς ἀγορὰν προελθὼν, εἰπὲ τοῖς
to-the to-grieve tomorrow and into marketplace having-gone-forth say to-the
Σαμίοις ὡς „Ἐγὼ μὲν οὔτε σημειολυτεῖν ἐπαιδεύθην οὔτ'
Samians that I indeed neither to-interpret-signs was-educated nor
οἰωνοσκοπεῖν, παῖς δέ μοι πρόσεστι πολλῶν πεῖραν εἰδώς·
to-take-auspices a-boy but to-me belongs of-many experience knowing
αὐτὸς ὑμῖν τὸ ζητούμενον λύσει." κἂν μὲν αὐτὸς ἐπιτύχω
he for-you the thing-sought will-solve and-if indeed I-myself attain
τῆς λύσεως, δέσποτα, σὺ τὴν δόξαν ἀποίσῃ τοιούτῳ
the solution master you the glory will-carry-off such
χρώμενος δούλῳ· ἂν δ' ἀποτύχω, ἐμοὶ μόνῳ ἡ ἐντεῦθεν
using slave if but I-fail on-me alone the thence
προστριβήσεται ὕβρις." πεισθεὶς οὖν ὁ Ξάνθος καὶ τῇ
will-be-rubbed outrage persuaded then — Xanthus and on-the
ὑστεραίᾳ εἰς τὸ θέατρον ἀπαντήσας καὶ καταστὰς εἰς τὸ
next-day into the theater having-come and having-stood into the
μέσον, κατὰ τὰς ὑποθήκας Αἰσώπου διελέχθη τοῖς
middle according-to the counsels of-Aesop conversed with-those
συνελθοῦσιν. οἳ δ' εὐθέως ἠξίουν κληθῆναι τὸν Αἴσωπον.
having-come-together they and at-once asked to-be-called — Aesop
τοῦ δ' ἀφικομένου καὶ στάντος ἐπὶ τὸ μέσον, οἱ Σάμιοι τὴν
he and having-come and having-stood in the middle the Samians the
ὄψιν αὐτοῦ κατανοήσαντες, ἐρεσχελοῦντες ἐφώνουν· „αὕτη
face his having-perceived teasing called-out this
ἡ ὄψις σημεῖον λύσει; ἐκ τοῦ αἰσχροῦ τούτου τί ποτε
the face a-sign will-solve from the ugly this what ever
καλὸν ἀκουσόμεθα;" καὶ γελᾶν ἤρξαντο. καὶ ὁ Αἴσωπος
fair shall-we-hear and to-laugh began and — Aesop
κατασείσας τῇ χειρὶ καὶ ἡσυχίαν αἰτήσας γενέσθαι,
having-waved with-the hand and quiet having-asked to-be

φησίν· „ἄνδρες Σάμιοι, τί μου τὴν ὄψιν σκώπτετε; οὐκ εἰς
says men Samians why my the face do-you-mock not to
τὴν ὄψιν, ἀλλ' εἰς τὸν νοῦν ἀποβλέπειν χρή. πολλάκις
the face but to the mind to-look it-is-needful often
γὰρ καὶ τῇ φαύλῃ μορφῇ χρηστὸν νοῦν ἡ φύσις ἐνέθηκεν.
for even in-the poor form a-good mind the nature placed
ἢ τὴν ἔξωθεν τῶν κεραμίων μορφὴν σκοπεῖτε ὑμεῖς, ἀλλ'
or the outside of-the jars form do-you-consider you but
οὐ τὴν ἐντὸς γεῦσιν τοῦ οἴνου;" ταῦτα τοῦ Αἰσώπου
not the inside taste of-the wine these-things — of-Aesop
πάντες ἀκούσαντες, ἔλεγον· „Αἴσωπε, εἴ τι δύνασαι,
all having-heard said Aesop if anything you-can
λέγε τῇ πόλει". καὶ ὃς μετὰ παρρησίας ἔφη· „ἄνδρες
say to-the city and he with frankness said men
Σάμιοι, ἐπειδήπερ ἡ τύχη φιλόνεικος οὖσα δόξης ἀγῶνα
Samians since the fortune contentious being of-glory a-contest
τέθεικε δεσπότῃ καὶ δούλῳ, κἂν μὲν ὁ δοῦλος ἥττων τοῦ
has-set for-master and slave and-if indeed the slave inferior to-the
δεσπότου φανῇ, διὰ μαστίγων ἐλεύσεται, εἰ δ' ἀμείνων,
master appear through whips he-will-go if but better
οὐδὲν ἔλαττον καὶ οὕτω πληγαῖς ξανθήσεται, εἰ ὑμεῖς διὰ
nothing less also so with-blows he-will-be-carded if you through
τῆς ἐμῆς ἐλευθερίας παρρησίαν χαρίσοισθέ μοι, ἐγὼ νῦν
the my freedom frankness would-grant me I now
ὑμῖν ἀδεῶς τὸ ζητούμενον φράσω." τότε ὁ δῆμος ἀπὸ μιᾶς
to-you fearlessly the thing-sought will-tell then the people from one
γλώττης πρὸς τὸν Ξάνθον ἐβόων· „ἐλευθέρωσον Αἴσωπον,
tongue to — Xanthus shouted free Aesop
ὑπάκουσον Σαμίοις. χάρισαι τὴν ἐλευθερίαν αὐτοῦ τῇ
obey the-Samians grant the freedom his to-the
πόλει." ὁ δὲ Ξάνθος οὐκ ἐπένευε. καὶ ὁ πρύτανις ἔφη·
city — but Xanthus not consented and the prytanis said

„Ξάνθε, εἰ μή σοι δοκεῖ ὑπακοῦσαι τῷ δήμῳ, ἐγὼ τῆσδε
Xanthus if not to-you it-seems to-obey the people I at-this
τῆς ὥρας Αἴσωπον ἀπελεύθερον ἂν ποιήσαιμι, καὶ τότε
the hour Aesop a-freedman — would-make and then
σοι ὁμότιμος ἔσται.“ τηνικαῦτα τοίνυν ὁ Ξάνθος ἀνάγκῃ
to-you equal-in-honor he-will-be at-that-time then — Xanthus by-necessity
τὴν ἐλευθερίαν ἐπέδωκε. καὶ ὁ κῆρυξ ἐβόα· „Ξάνθος ὁ
the freedom granted and the herald shouted Xanthus the
φιλόσοφος ἐλευθεροῖ Σαμίοις Αἴσωπον.“ κἀν τούτῳ
philosopher frees for-the-Samians Aesop and-in this
πέρας ὁ τοῦ Αἰσώπου λόγος εἰλήφει, φαμένου πρὸς τὸν
end the — of-Aesop word had-taken he-having-said to —
Ξάνθον ὡς „καὶ ἄκων ἐλευθερώσεις με.“ Αἴσωπος οὖν
Xanthus that even unwilling you-will-free me Aesop then
ἐλευθερίας τυχών, στὰς εἰς τὸ μέσον ἔφη· „ἄνδρες
freedom having-attained having-stood into the middle said men
Σάμιοι, ὁ μὲν ἀετός, ὡς ἴστε, βασιλεὺς τῶν ὀρνίθων
Samians the indeed eagle as you-know king of-the birds
ἐστίν. ὅτι δὲ τὸν στρατηγικὸν δακτύλιον οὗτος ἁρπάσας
is that but the general's ring he having-snatched
ἀφῆκεν εἰς δούλου κόλπον, τοῦτο σημαίνειν δῆλον, ὅτι
let-fall into a-slave's lap this to-signify clear that
τῶν νυνὶ βασιλέων τις βούλεται ὑμῶν τὴν ἐλευθερίαν
of-the now kings one wishes your the freedom
δουλῶσαι, καὶ τοὺς κυρίους νόμους ἀκύρους δεῖξαι. ταῦτα
to-enslave and the sovereign laws void to-show these-things
οἱ μὲν Σάμιοι ἀκούσαντες, κατηφείας ἐπλήσθησαν.
the indeed Samians having-heard with-dejection were-filled
μετὰ δ᾽ οὐ πολὺν χρόνον καὶ γράμματα παρὰ Κροίσου τοῦ
after and not much time also letters from Croesus the
Λυδῶν βασιλέως ἧκει Σαμίοις κελεύοντα τὸ ἀπὸ τοῦδε
of-the-Lydians king come to-the-Samians ordering the from this

φόρους αὐτῷ παρέχειν, εἰ δὲ μὴ πείθοιντο, πρὸς μάχην
tributes to-him to-provide if but not they-obey for battle
ἑτοίμους εἶναι. ἐβουλεύσαντο μὲν οὖν ἅπαντες — ἔδεισαν
ready to-be they-deliberated indeed then all they-feared
γὰρ ὑπήκοοι γενέσθαι τῷ Κροίσῳ — συνοῖσον εἶναι μέντοι
for subjects to-become — to-Croesus expedient to-be however
καὶ Αἴσωπον ἐρωτῆσαι. κἀκεῖνος ἐρωτηθεὶς εἶπε· „τῶν
also Aesop to-ask and-he having-been-asked said the
ἀρχόντων ὑμῶν γνώμην δεδωκότων εἰς φόρου ἀπαγωγὴν
rulers your judgment having-given for of-tribute payment
ὑπακούειν τῷ βασιλεῖ, συμβουλὴν μὲν οὐδ' ὡς, λόγον δὲ
to-obey the king counsel indeed not-even so a-word but
ἐρῶ ὑμῖν, καὶ εἴσεσθε τὸ συμφέρον. ἡ τύχη δύο ὁδοὺς
I-will-tell you and you-will-know the expedient the fortune two roads
ἔδειξεν ἐν τῷ βίῳ, θατέραν μὲν ἐλευθερίας, ἧς ἡ μὲν
showed in the life the-one indeed of-freedom of-which the indeed
ἀρχὴ δύσβατος, τὸ δὲ τέλος ὁμαλόν· θατέραν δὲ δουλείας,
beginning hard-to-walk the but end smooth the-other and of-slavery
ἧς ἡ μὲν ἀρχὴ εὐπετής τε καὶ βάσιμος, τὸ δὲ τέλος
of-which the indeed beginning easy both and walkable the but end
ἐπώδυνον." ταῦτα ἀκούσαντες οἱ Σάμιοι, ἀνεβόησαν·
painful these-things having-heard the Samians shouted
„ἡμεῖς ἐλεύθεροι ὄντες ἑκόντες οὐ γινόμεθα δοῦλοι", καὶ τὸν
we free being willingly not become slaves and the
πρεσβευτὴν οὐ σὺν εἰρήνῃ ἀπέπεμψαν. ὁ μὲν οὖν Κροῖσος
envoy not with peace sent-away — indeed then Croesus
ταῦτα μαθών, ἐβούλετο πόλεμον κατὰ Σαμίων κινεῖν,
these-things having-learned wished war against the-Samians to-stir
ὁ δὲ πρεσβευτὴς ἀνήνεγκεν, ὡς οὐκ ἂν δυνηθείη Σαμίους
the but envoy reported that not — he-could the-Samians
ὑπὸ χεῖρα λαβεῖν, Αἰσώπου παρ' αὐτοῖς ὄντος, καὶ γνώμας
under hand to-take Aesop with them being and opinions

ὑποτιθέντος. „δύνῃ δὲ μᾶλλον,“ εἶπεν „ὦ βασιλεῦ, πρέσβεις
suggesting you-can but rather he-said O king envoys
ἀποστεῖλας ἐξαιτῆσαι παρ᾽ αὐτῶν Αἴσωπον, ὑποσχόμενος
having-sent to-demand from them Aesop having-promised
αὐτοῖς ἀντ᾽ αὐτοῦ χάριτας ἄλλας τε δώσειν, καὶ λύσιν
them in-return-for him favors others both to-give and release
τῶν ἐπιταττομένων φόρων. καὶ τότε τάχα οἷός τε ἔσῃ
of-the imposed tributes and then perhaps able — you-will-be
τούτων περιγενέσθαι.“ καὶ ὁ μὲν Κροῖσος κατὰ ταῦτα
them to-overcome and — indeed Croesus according-to these-things
πρεσβευτὴν ἀποστείλας, ἔκδοτον ᾔτει τὸν Αἴσωπον.
an-envoy having-sent surrendered demanded — Aesop
Σάμιοι δὲ τοῦτον ἐκδόσθαι γνώμης ἐγένοντο. Αἴσωπος
Samians and him to-surrender of-mind became Aesop
δὲ τοῦτο μαθών, ἐν μέσῳ τε τῆς ἀγορᾶς ἔστη καὶ
and this having-learned in middle both of-the marketplace stood and
φησίν· „ἄνδρες Σάμιοι, κἀγὼ μὲν περὶ πολλοῦ ποιοῦμαι
says men Samians I-too indeed of much make
παρὰ τοὺς πόδας ἀφικέσθαι τοῦ βασιλέως· ἐθέλω δὲ ὑμῖν
at the feet to-arrive of-the king I-wish but to-you
ἕνα μῦθον εἰπεῖν. καθ᾽ ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα,
one fable to-tell at which time of-one-voice were the animals
